τὰ τὴν μαρτυρίαν τοῦ Ἐξάρχου τῆς Βουλγαρίας, ἐποιήσατο μετὰ τοῦ Μεθοδίου Ἐκλογὴν ἐκ τῶν Εὐαγγελίων καὶ τοῦ Ἀποστόλου. Τοῦτο σημαίνει, ὅτι οἱ τῶν Σλάβων φωτισταὶ μεθηρμήνευσαν πρὸ παντὸς ἄλλου ἐκλεκτὰ τεμάχια τοῦ Εὐαγγελίου, καὶ τοῦ Ἀποστόλου διὰ τὰς καθ' ἡμέραν ἀναγνώσεις. Τοιοῦτον τὸ ἀρχαιότατον ὀστρομίρειον Εὐαγγέλιον, τοιαῦτα ἐπ' ἴσης τὰ ἀρχαῖα ἀπόγραφα τῶν ἀναγνωσμάτων ἐκ τῶν Πράξεων καὶ τῶν Ἐπιστολῶν τῶν Ἀποστόλων! Ὁ πόνος οὗτος ἀνήκει εἰς τὸν Κύριλλον καὶ τὸν Μεθόδιον καὶ κατ' ἄλλα τῆς ἀρχαιότητος μνημεῖα (1). Ἡ Πανν. βιογρ. λέγει περὶ τοῦ ἁγίου Μεθοδίου: «Τὸ Ψαλτήριον μόνον καὶ τὸ Εὐαγγέλιον μετὰ τοῦ Ἀποστόλου καὶ ἐκλεκτῶν ἐκκλησιαστικῶν Ἀκολουθιῶν μετέφρασε πρότερον μετὰ τοῦ Φιλοσόφου». Ἀλλ' ὁ Παννονὸς βιογράφος τοῦ Κυρίλλου λέγει, ὅτι κατὰ τὴν παρὰ τοῖς Μοραβοῖς διατριβὴν αὐτοῦ ὁ Κύριλλος «ἐδίδαξε τὸν ὄρθρον καὶ τὰς ὥρας καὶ τοὺς ἑσπερινοὺς καὶ τὴν θείαν Λειτουργίαν» (2). Ὁ Νέστωρ λέγει, ὅτι ὁ Κύριλλος καὶ ὁ Μεθόδιος ἡρμήνευσαν ἐκ τῆς ἑλληνικῆς εἰς τὴν σλαβικὴν «τὸν Ἀπόστολον, καὶ τὰ Εὐαγγέλια, ὡσαύτως καὶ τὸ Ψαλτήριον, καὶ τὴν Ὀκτώηχον, καὶ τὰ ἄλλα». Τὸ ἰταλικὸν Συναξάριον λέγει: «Ἤρξαντο ἐπιτελεῖν μετὰ ζήλου ἐκεῖνο, ἐφ' ᾧ ἦλθον, διδάσκειν τὰ γράμματα τὰ τέκνα αὐτῶν, διατάσσειν τὰς ἐκκλησιαστικὰς Ἀκολουθίας .... Τέσσαρα ἔτη καὶ ἓξ μῆνας διέτριψαν ἐν Μοραβίᾳ,

(1) Πρόλογ. τοῦ Ἐξάρχου εἰς τὸ βιβλίον, Οὐρανοί, Καλαϊδόβ. σελ. 129. Τὸ ἰταλ. Συναξ. (περὶ Κυρίλλου) ποιεῖται λόγον περὶ τῆς ὑπὸ τοῦ Κυρίλλου μεταφράσ. τοῦ Εὐαγγελίου, ἐπ' ἴσης ὁ Διοκλέας.

(2) Ὁ Παννον. βιογρ. τοῦ Κυρίλλου λέγει ἔτι, ὅτι ἀφικομένων τῶν ἁγίων ἀδελφῶν εἰς Ῥώμην. «ὁ Πάπας ἐδέξατο τὰ σλαβ. βιβλία, καὶ ἔθηκεν αὐτὰ ἐν τῷ ναῷ τῆς ἁγίας Μαρίας .... ἐτέλεσε μετ' αὐτῶν (τῶν βιβλίων) τὴν Λειτουργίαν .... ἔπειτα ἐτέλεσεν ἐν τῷ ναῷ τοῦ ἁγίου Πέτρου τὴν λειτουργίαν σλαβιστί». Κατὰ τὸν βιογράφον τοῦ Μεθοδίου, «ὁ Πάπας ἔθηκε τὸ ἅγιον Εὐαγγέλιον (τὸ σλαβικὸν) ἐπὶ τοῦ θυσιαστηρίου τοῦ ἁγίου Ἀποστόλου Πέτρου». Τέλος, κατὰ τὸν βιογράφον τοῦ ἁγίου Κυρίλλου, «παρὰ τῷ μεγάλῳ τῶν ἐθνῶν διδασκάλῳ, τῷ Ἀποστόλῳ Παύλῳ, ἐν τῷ ναῷ .... ἐτέλεσε τὴν ἁγίαν Λειτουργίαν σλαβιστὶ ἐπὶ τοῦ ἁγ. Τάφου.....».

ἧς τὸν λαὸν ἐστήριξαν ἐν τῇ ὀρθοδόξῳ πίστει, καὶ κατέλιπον ἐκεῖ τὰ πρὸς τὴν θείαν λατρείαν ἀναγκαῖα βιβλία». ὁ Πάπας Ἰωάννης ἔγραψε πρὸς τὸν ἡγεμόνα τῆς Μοραβίας Σβιατοπόλκον: «Οὐδὲ πρὸς τὴν ὑγιᾶ πίστιν καὶ διδασκαλίαν ὅλως ἀντίκειται, εἴτε τὸ τὰς λειτουργίας ἐν τῇ σλαβικῇ γλώσσῃ ψάλλειν, εἴτε τὸ ἱερὸν Εὐαγγέλιον, ἢ τὰ θεῖα ἀναγνώσματα τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης, καλῶς μετενηνεγμένα καὶ μεθηρμηνευμένα, ἀναγινώσκειν, ἢ καὶ πᾶσαν τὴν τῶν ὡρῶν ἀκολουθίαν ψάλλειν». Τούτῳ συμφωνοῦσι καὶ ἄλλαι ἀρχαῖαι μαρτυρίαι (1). Πλὴν τούτου ἐκ τῶν μνημείων δῆλον, ὅτι μετεφράσθησαν αἱ ἑλληνικαὶ Ἀκολουθίαι τῆς εἰς ἱερωσύνην προχειρίσεως, τοῦ γάμου, τοῦ βαπτίσματος, καὶ τοῦ ἐνταφιασμοῦ (2). Καθ᾽ ἁπάσας ταύτας τὰς ἀποφάνσεις, ὁ Κύριλλος καὶ

(1) Τὸ περὶ Κυρίλλου καὶ Μεθοδίου βοημο-μοραβικὸν Συναξάριον λέγει «ὁ Π. Ἀδριανὸς ἐξεπλάγη μαθών, ὅτι ἐτόλμησαν οἱ ἱερεῖς τοῦ Κυρίου, Κύριλλος καὶ Μεθόδιος, διατάξαι ψάλλεσθαι τὰς κανονικὰς ὥρας (τουτ. τὴν καθ᾽ ἡμέραν Ἀκολουθίαν) ἐν τῇ σλαβ. γλώσσῃ». Τὸ περὶ Λουδμίλλης Συναξάριον λέγει, ὅτι ὁ Κύριλλος πλὴν τῶν ἀναγνωσμάτων ἐκ τῆς Καινῆς Διαθήκης «plura alia, *missas* caeterasque *horas* canonicas resonare publica voce in Ecclesia statuit». Ὁ Γερμανὸς Ριχβάλδος ᾐτιάσατο τὸν Μεθόδιον ἅμ᾽ ἀφικόμενον εἰς Παννονίαν ἐπὶ τῷ ὅτι » inventis slavonis litteris vilescere fecit cuncto populo ex parte *missas* et *Evangelia* ecclesiasticumque *officicum* illorum, qui hoc. latine celebraverunt». De convers. Boiariorum. Τὸ αὐτὸ δείκνυσι ἡ τοῦ Π. Ἰωάννου πρὸς τὸν Μεθόδιον ἐπιστολὴ (τῷ 879).

(2) Περὶ τῆς εἰς ἱερωσύνην προχειρίσεως, περὶ τοῦ γάμου καὶ τοῦ βαπτίσματος γίγνεται μνεία ἐν τῇ παννον. βιογρ. τοῦ Μεθοδίου: Ἀπὸ τῆς ἡμέρας δὲ ταύτης ἤρξατο βλαστάνειν ἡ διδασκαλία τοῦ Θεοῦ, ἐπολλαπλασιάζοντο αἱ κουραὶ ἐν ἁπάσαις ταῖς πόλεσι, καὶ οἱ ἐθνικοὶ ἀπεδέχοντο τὴν εἰς Χριστὸν πίστιν». «Ἀγαθὸν τὸ βαπτισθῆναί σε, Υἱὲ τῇ οἰκείᾳ θελήσει». Ὅσον ἀφορᾷ εἰς τοὺς γάμους, ὁ Μεθόδιος εὗρε παρὰ τοῖς Σλάβοις πολλὰς καταχρήσεις, ἃς ἐξήλειψεν· ὁ αὐτὸς βιογράφος λέγει, ὅτι κατὰ τὸν ἐνταφιασμὸν τοῦ Μεθοδίου ἡ νεκρώσιμος ἀκολουθία ἐτελέσθη λατινιστί, ἑλληνιστὶ καὶ σλαβιστί. Ὁ Π. Ἀδριανὸς ἔγραψε πρὸς τὸν ἡγεμόνα τῆς Μοραβίας περὶ τοῦ Μεθοδίου: «. . . . ut vos edoceret, quamadmodum rogastis libros in vestram linguam interpretans secundum omnia Ecclesiæ praecepta plene cum sancta missa, id est cum liturgia et baptismo».

ὁ Μεθόδιος μετέφρασαν τὰ πρὸς ἐπιτέλεσιν τῆς θείας λατρείας ἀναγκαιότατα βιβλία. Τῶν βιβλίων δὲ τούτων ἔνια ὀνομάζονται διαρρήδην, Τοιαῦτα: Τὰ ἐκλεκτὰ ἀναγνώσματα τῆς Καινῆς Διαθήκης, αἱ Παροιμίαι, τὸ Ψαλτήριον, τὸ Ὡρολόγιον, ἡ Λειτουργία, αἱ Ἀκολουθίαι τῶν μυστηρίων μετὰ τῆς νεκρωσίμου Ἀκολουθίας, καὶ ἡ Ὀκτώηχος τοῦ Δαμασκηνοῦ. Μετεφράσθη ἆρά γε ἔτι τι ἐκ τῶν τῆς Ἐκκλησιαστικῆς ἡμῶν Ἀκολουθίας βιβλίων; Πρὸ παντὸς ἄλλου σημειοῦμεν, ὅτι ἐπὶ τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου οὐχ ὑπῆρχον ἐν τῇ Ἐκκλησίᾳ τῆς Κωνσταντινουπόλεως πολλαὶ ᾠδαὶ ἀναλογοῦσαι πρὸς τὴν ἔννοιαν τῶν θεοπνεύστων ᾠδῶν, μάλιστα δ' ἐν χρήσει ἦσαν τὰ στιχηρὰ τοῦ Ἀνατολίου καὶ τοῦ Σωφρονίου, τὰ κοντάκια τοῦ Ῥωμανοῦ, οἱ κανόνες μετὰ τῶν στιχηρῶν τοῦ Δαμασκηνοῦ καὶ τοῦ Κοσμᾶ, τὰ τριῴδια καὶ τὰ στιχηρὰ Θεοδώρου καὶ Ἰωσὴφ τῶν Στουδιτῶν. Ἀλλ' ἀμφίβολον, εἰ ἦσαν ἐν χρήσει οἱ κανόνες τοῦ Θεοφάνους, πολλῷ δ' ἧττον οἱ τοῦ Ὑμνογράφου Ἰωσήφ. Ὑπὸ ἀμφοτέρων τῶν χαριτοβρύτων τούτων ἀνδρῶν τοσαῦται ᾠδαὶ συνετάχθησαν, ὅσαι οὐ συνετάχθησαν ὑφ' ἁπάντων ὁμοῦ τῶν ἄλλων τῆς Ἐκκλησίας μελοποιῶν. Οὐ λέγομεν περὶ τῶν πονημάτων τῶν Αὐτοκρατόρων Λέοντος καὶ Κωνσταντίνου, τῶν Π. Φιλοθέου καὶ Κλήμεντος, Ἰωάννου τοῦ Μαυρόποδος, καὶ Νικηφόρου, ἀκμασάντων μετὰ τοὺς διδασκάλους τῶν Σλάβων. Καὶ αὐτὴ ἡ ὑπ' αὐτῶν μεταφρασθεῖσα Ὀκτώηχος διέφερε τῆς νῦν γνωστῆς [1]. Λέγοντες δέ, ὅτι μετεφράσθησαν αἱ ἀκολουθίαι τῶν Μυστηρίων, οὐκ ἐννοοῦμεν, ὅτι μετεφράσθη τὸ Εὐχολόγιον [2]. Τὸ αὐτὸ ῥητέον καὶ

---

(1) Ἐν τῇ σλαβ. Ὀκτωήχῳ τοῦ κατόπιν χρόνου κατεχωρίσθησαν τὰ στιχηρὰ τοῦ Αὐτοκρ. Λέοντος (886-911), τὰ ἐξαποστειλάρια τοῦ Αὐτοκρ. Κωνσταντίνου (τοῦ ι' αἰῶνος), οἱ κανόνες τοῦ ἐχθροῦ τοῦ Π. Φωτίου Μ. Μητροφάνους, αἱ καθ' ἡμέραν Ἀκολουθίαι τοῦ Θεοφάνους καὶ τοῦ Ἰωσήφ, Αἱ τελευταῖαι, εἰσαχθεῖσαι εἰς τὴν σλαβ. Ὀκτώηχον, οὐκ ἀποτελοῦσι μέρος τῆς ἑλλην. Ὀκτωήχου, ἀλλὰ τῆς Παρακλητικῆς.

(2) Ἐν τῷ νῦν σλαβ. Εὐχολογίῳ, ὡς καὶ ἐν τῷ ἑλλην. ὑπάρχουσι ποιήματα τῶν Π. Καλλίστου καὶ Φιλοθέου (τοῦ ιδ' αἰῶν.) Ὁ κανὼν τοῦ Εὐχελαίου συνετάχθη ὑπὸ τοῦ φίλου τοῦ Π. Φωτίου Ἀρσενίου ἐπισκ. Κερκύρας, καὶ ἐντεῦθεν οὐκ ἦν δυνατὸν ὑπάρχειν ἐπὶ τοῦ Μεθοδίου ἐν τῇ Ἀκολουθίᾳ τοῦ Κων]πολ. Εὐχελαίου.

περὶ τοῦ Ψαλτηρίου, εἰς ὃ εἰσήχθησαν ἐν τῷ τέλει ἑκάστου Καθίσματος μεγαλυνάρια, εὐχαὶ καὶ τροπάρια ([1]). Ἐν τούτοις ὁ τοῦ Μεθοδίου Παννονὲς βιογράφος λέγει: « . . . Et sanctam elevationem mysteriosam cum clero suo (Pandibus ex) tollens, fecit memoriam S. Demetrii (§. 15.). Ἐπειδὴ κατὰ τὴν ἑλληνικὴν Ἀκολουθίαν ἡ μνήμη τῶν ἁγίων τελεῖται ᾠδαῖς, στιχηροῖς, κοντακίοις καί, ἀπὸ τοῦ Δαμασκηνοῦ, κανόσιν, οὐκ ἄνευ λόγου νομίζομεν, ὅτι εἰμὴ ἐπὶ Κυρίλλου, ἀλλ᾽ ἐπὶ Μεθοδίου τοὐλάχιστον μετεφράσθησαν αἱ ᾀσματικαὶ Ἀκολουθίαι τῶν ἑορτῶν· οὐ δυνάμεθα εἰπεῖν, ὅτι μετεφράσθη τὸ κοινὸν Μηναῖον, οὗ καὶ ἴχνη οὐχ ὑπάρχουσι μεταξὺ τῶν Σλάβων καὶ δὴ καὶ κατὰ τὸν ια´ αἰῶνα. Ἐπὶ τοῦ ἁγίου Μεθοδίου οὐκ ἦν γνωστὴ ἡ ὀνομασία: ἑορταστικὸν Μηναῖον. Συνῳδὰ τῇ κοινῇ ἱστορίᾳ τῶν ἐκκλησιαστικῶν ᾠδῶν καὶ τοῖς σλαβ. αὐτῶν ἀπογράφοις δυνατὸν εἰπεῖν, ὅτι μετεφράσθησαν τὰ Στιχηράρια καὶ ἴσως ἔνιοι τῶν κανόνων τοῦ Κοσμᾶ καὶ τοῦ Δαμασκηνοῦ.

Περὶ τῶν πόνων τοῦ ἁγίου Μεθοδίου γράφει Ἰωάννης ὁ Ἔξαρχος: « Ὁ δὲ μέγας τοῦ Θεοῦ Ἀρχιεπίσκοπος Μεθόδιος, ὁ τούτου ἀδελφός, μεθηρμήνευσεν ἅπαντα τὰ 60 διατεταγμένα βιβλία ἐκ τῆς ἑλληνικῆς γλώσσης . . . εἰς τὴν σλαβονικήν». Ἐπειδὴ δὲ ἀναμφηρίστως γνωστόν, ὅτι τὰ κανονικὰ βιβλία τῆς Π. καὶ Κ. Διαθήκης ἠριθμοῦντο ἐκ παλαιτάτου ἐν τῇ ἑλληνικῇ Ἐκκλησίᾳ 60 (33 τῆς Παλαιᾶς Διαθήκης καὶ 27 τῆς Καινῆς), ἐντεῦθεν δῆλον, ὅτι ὁ Ἔξαρχος, λέγων περὶ τῶν 60 διατεταγμένων βιβλίων, τῶν ὑπὸ τοῦ Μεθοδίου μεθερμηνευθέντων, ἐννοεῖ τὴν μετάφρασιν τῶν κανονικῶν βιβλίων τῆς ἁγίας Γραφῆς ([2]). Ἀφ᾽ ἑτέρου ὁ Ἔξαρχος εἶχεν ὑπ᾽ ὄψει τὸν ἀριθμὸν τῶν βιβλίων, ὃν ἀπεδέχετο ὁ θεῖος Δαμασκηνός, οὗ τὰ συγγράμματα μετέφρασεν. Ὁ μέγας οὗτος

([1]) Ὁ συγγραφεὺς τῆς ἐπιθεωρήσεως τῶν θεολ. βιβλίων, καὶ μετ᾽ αὐτὸν ὁ πατὴρ Μακάριος, δοξάζουσιν, ὅτι καὶ τὸ μετὰ ἑρμηνειῶν Ψαλτήριον συνετάχθη ὑπὸ τοῦ Μεθοδίου. Εἰς μάτην! Καὶ μεταξὺ τῶν κατόπιν σλαβ. χειρογράφων ἀδύνατον δεῖξαι καὶ ἓν ἔχον ὁμοιότητα πρὸς αὐτό.

([2]) Οἱ Ἑβραῖοι ἠρίθμουν ἐν τῷ κανόνι αὐτῶν 22 βιβλία· ἀλλ᾽ οἱ διδάσκαλοι τῆς Ἐκκλησίας, χωρίσαντες τοὺς

τῆς Ἐκκλησίας Διδάσκαλος ἀριθμεῖ ἐν ἰδίῳ συγγράμματι 60 κανονικὰ βιβλία καὶ ἐξαιρεῖ ἐκ τούτου τοῦ ἀριθμοῦ τὰ ἀπόκρυφα βιβλία. Τὸ σύγγραμμα τοῦτο τοῦ Δαμασκηνοῦ μένει ἐν τοῖς ἑλλην. χειρογράφοις. Ὑπάρχει δὲ καὶ ἐν ἀρχαίᾳ σλαβ. μεταφράσει. Ἡ γλῶσσα τῆς μεταφράσεώς ἐστιν οὕτως ἀρχαία, ὥστε ἀνενεκτέον τὴν μετάφρασιν εἰς τοὺς πρώτους χρόνους τοῦ σλαβ. χριστιανισμοῦ. Τὸ δὲ ἄρθρον περὶ τῶν βιβλίων εὑρίσκεται ἐν τῷ Ἀπανθίσματι τοῦ Σβιατοσλάβου, τῷ κατὰ τὸ 1073 γενομένῳ, ἐν αὐτῷ ἐκείνῳ, ὅπερ μετεφράσθη τὸ πρῶτον ἐκ τοῦ ἑλληνικοῦ κατὰ διαταγὴν τοῦ ἐν βα-

---

12 ἐλάσσονας Προφήτας ὑπὸ ἴδιον ἀριθμόν, ἠρίθμουν 33. Οὕτως ἐν τῷ ἄρθρῳ τοῦ Ἀπανθίσματος τοῦ Σβιατοσλάβου, τῷ ἀπανθισθέντι ἐκ τοῦ συγγράμματος Γρηγορίου τοῦ θεολόγου, ὁ ἀριθμὸς τῶν κανονικῶν βιβλίων ἀναβαίνει εἰς 60. Οἱ 12 ἐλάσσονες Προφῆται οὐκ ἀποτελοῦσιν ἓν βιβλίον, ἀλλὰ δώδεκα. Τῷ 18ῳ βιβλ. τοῦ Ἔσδρα ἕπονται: 19 Ὠσηέ, 20 Ἀμώς, 21 Μιχαίας, κ. τ. λ. (Καλαϊδόβιτζ περὶ τοῦ Ἐξάρχου σελ. 136). Ὁ Ἀντίοχος (ἐν τῇ ἀρχῇ τοῦ ζ' αἰῶνος) λέγει ἐν τῷ Προλόγῳ εἰς τὴν Ἐπιτομὴν πάσης τῆς θείας Γραφῆς, Παλαιᾶς τε καὶ Καινῆς: «Φησὶν ἐν τοῖς Ἄσμασιν ὁ σοφὸς Σολομών· ἑξήκοντα βασίλισσαι, καὶ ὀγδοήκοντα παλλακαί, καὶ νεάνιδες ὧν οὐκ ἔστιν ἀριθμός. Ἡμεῖς οὖν τὰς μὲν ἑξήκοντα βασιλίσσας, τὰς ἐγκρίτους λέγομεν εἶναι βίβλους, τουτέστι τὰς ἑξήκοντα ἐνδιαθέτους τῆς Π. καὶ Κ. Διαθήκης, τὰς δὲ ὀγδοήκοντα παλλακάς, τὰς μὴ ἐγκρινομένας, τὰς λεγομένας Ἀποκρύφους...». Ὁ Φίλιππος (κατὰ τὸ ἔτος 1095) ἔγραψεν ἐν τῇ Διόπτρᾳ αὐτοῦ; «Ὑπ' αὐτοῦ (τοῦ ἁγ. Πνεύματος) σοφισθέντες οὗτοι καὶ ἐκεῖνοι (οἱ Ἀπόστολοι καὶ οἱ Προφῆται) ἔγραψαν 60 βιβλία, 33 τῆς Παλαιᾶς καὶ 27 τῆς Καινῆς Διαθήκης». Τῶν πατέρων οἱ μὲν ἠρίθμουν. κατὰ τὸ παράδειγμα τῶν Ἑβραίων, 22 τὰ βιβλία τῆς Π. Δ. (ὡς Κύριλλος ὁ Ἱεροσολ., ὁ ξ' καν. τῆς ἐν Λαοδικ. Συν. ὁ Μ· Ἀθανάσιος), οἱ δὲ (ὡς ὁ Ἐπιφάνιος καὶ ὁ Δαμασκηνός) ἐν τῇ Ἐκδ. τῆς ὀρθ. πίστ.), διαιροῦντες ἐν τῷ ἑβρ. ἀριθμῷ ἔνια βιβλία, ἠρίθμουν 27 ἀλλ' οὐδέποτε εἰσῆγον εἰς τὸν ἀριθμὸν τοῦτον τὰ ἀπόκρυφα βιβλία. Οἱ Πατέρες τῆς Ἐκκλησίας ἀπηγόρευον αὐστηρῶς τὸ εἰσάγειν εἰς τὸν κανόνα βίβλους τοιαύτας, οἵας ἡ Σοφία Σιράχ, ἡ Σοφ. Σολομ., κ. τ. λ. «Ἐνάρετοι μὲν καλαί, ἀλλ' οὐκ ἀριθμοῦνται, οὐδὲ ἔκειντο ἐν τῇ κιβωτῷ», λέγει ὁ Δαμασκηνός.

σιλεῦσι μεγάλου Συμεῶνος ὑπ' αὐτοῦ Ἐξάρχου ([1]). Πῶς δ' ἠδύνατο ὁ Ἔξαρχος μὴ ἔχειν ὑπ' ὄψει τὸν ἀριθμὸν τῶν βιβλίων ἐκείνου τοῦ συγγράμματος, ὅπερ αὐτὸς μετέφρασεν; Τὸ βιβλίον τοῦτο ἠδύνατο μᾶλλον ἔχειν ὑπ' ὄψει ὁ Ἔξαρχος λόγον ποιούμενος περὶ τῶν 60 βιβλίων, ἢ τὴν Ἔκθεσιν τῆς Ὀρθοδόξου πίστεως ([2]). Οὕτω, κατὰ τὴν μαρτυρίαν τοῦ Ἐξάρχου, ἰδόντος τοὺς μαθητὰς τοῦ Μεθοδίου, ὁ μέγας τῶν Σλάβων διδάσκαλος μετέφρασε τὰ 60 κανονικὰ βιβλία τῆς ἁγίας Γραφῆς, οὐχὶ δὲ καὶ τὰ ἀπόκρυφα.

Τῇ τοῦ Ἐξάρχου μαρτυρίᾳ συμφωνοῦσιν αἱ εἰδήσεις τοῦ Παννονοῦ βιογράφου τοῦ Μεθοδίου, τοῦ ὁσίου Νέστορος, τοῦ ἀρχ. Μηνολογίου ([3]) καὶ ἄλλων πολλῶν ἀρχαίων. Ἅπασαι αὗται αἱ μαρτυρίαι

([1]) Καλαϊδόβιτζ Ἔξαρχος, σελ. 127. 136. Ἐπιθεώρησις τῆς ρωσσικῆς φιλολογ. §. 4.

([2]) Ὁ Καλαϊδόβιτζ ἐτύπωσε μέρος τοῦ συγγράμματος, περὶ οὗ ὁμιλοῦμεν (Ἔξαρχος, σελ. 134) ὑπὸ τὴν ἐπιγραφὴν Ἐκ τῶν λόγων τοῦ θεολόγου. Ἀλλὰ ἡ ἐπιγραφὴ αὕτη οὐκ ἀνήκει ἐκείνῳ, ὅπερ ἐτυπώθη, ἀλλὰ τοῖς πρὸ αὐτοῦ γραφεῖσι στίχοις τοῦ ἁγ. Γρηγορίου τοῦ θεολόγου περὶ τῶν κανονικῶν βιβλίων. Κατὰ ἑλλην. καὶ σλαβ. ἀπόγραφα ἡ τάξις τῶν τοῦ Δαμασκηνοῦ κεφαλαίων, ὧν ἐν τῇ σειρᾷ εὑρίσκεται καὶ τὸ περὶ τῶν βιβλίων, ἐστὶ τοιάδε 1 « Ἰωάννου τοῦ Δαμασκηνοῦ περὶ τῶν μακεδονικῶν μηνῶν κατὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν », περαιτέρω « μῆνες Ρωμαίων » καὶ ἄλλων λαῶν. 2. « Τοῦ αὐτοῦ Ἰωάννου περὶ τῶν ἐξόχων βιβλίων ». α') « ἰστέον, ὡς εἴκοσι καὶ δύο βίβλοι εἰσὶ τῆς Π. Δ. κατὰ τὰ στοιχεῖα τῆς ἑβραΐδος φωνῆς». κ. τ. λ. β') περὶ τῶν ἑξήκοντα βιβλίων: 1) Γένεσις· 2) Ἔξοδος . . . . 35 (Εὐαγγέλιον τοῦ Ματθαίου . . . 60) τοῦ αὐτοῦ πρὸς Ἑβραίους (ἡ ἀπαρίθμησις παρὰ τῷ Καλαϊδόβιτζ)· γ') περὶ τῶν ἔξω βιβλίων, δηλ. τῶν μὴ ἐν τῷ κανόνι βιβλίων (Βλ. περὶ τοῦ Δαμασκηνοῦ).

([3]) Τὸ Μηνολόγ. « Ὧν δ' ἐν Μοραβίᾳ (ὁ Μεθόδιος) μετέφρασε τὰ 60 βιβλ. τῆς Π. καὶ τῆς Κ. Δ. ἐκ τῆς ἑλλην. γλώσσης εἰς τὴν σλαβονικήν ». Ὁ Παννονὸς βιογράφος τοῦ Μεθοδίου λέγει « Post ista *autem*, relicto tumultu et dolore suo Deo commendato, prius vero ex discipulis suis duobus presbyteris constitutis, qui valde velociter scribebant, vertit brevi tempore omnes libros (Scripturae) plene, exceptis Maccabaeis, ex Graeca linqua in Slovenicam, intro sex

ἀναφέρουσι τὴν μὲν μετάφρασιν τῶν κανονικῶν βιβλίων εἰς τοὺς πρώτους χρόνους τοῦ σλαβ. χριστιανισμοῦ, τὴν δὲ τῶν ἀποκρύφων εἰς τὸν κατόπιν χρόνον (¹).

Τέλος ὁ Παννονὸς βιογράφος τοῦ Μεθοδίου λέγει, ὅτι οὗτος μετὰ τὴν τελευτὴν τοῦ ἀδελφοῦ αὐτοῦ ἁγ. Κυρίλλου « **nomocanonem quoque id est regulam legis et patericon ranstulit** ».

Πρὸς διασάφησιν τῆς ἱστορίας τῶν πόνων τῶν μακαρίων φωτιστῶν τῶν Σλάβων ῥητέον τὰ ἑξῆς :

α΄) Ἡ Σλαβονο-βουλγαρικὴ γλῶσσα ἠδύνατο εἶναι πάνυ καλῶς γνωστὴ τῷ Κυρίλλῳ καὶ τῷ Μεθοδίῳ, ὡς γεννηθεῖσι καὶ τραφεῖσιν ἐν Θεσσαλονίκῃ, (καίπερ τὴν Ἑλλήνων παιδείαν ἀπαιδευθεῖσιν), ἅτε δὴ τῆς Μοισίας ἀρχαιόθεν ὑπὸ Σλάβων οἰκουμένης. Οἱ Βούλγαροι καταλαβόντες αὐτὴν καὶ μέρος τῆς Μακεδονίας, ἤρξαντο καὶ αὐτοὶ σλαβιστὶ διαλέγεσθαι. Ἡ Μακεδονία, καὶ ἰδίως τὰ πέριξ τῆς Θεσσαλονίκης ἐπὶ Κυρίλλου καὶ Μεθοδίου καὶ πρὸ αὐτῶν, κατείχοντο ἐπ᾽ ἴσης ὑπό τινων σλαβ. φύλων· ἡ δὲ Θεσσαλονίκη ἦν ἡ κυρία ἐμπορικὴ πόλις τοῖς Σλάβοις τῆς Μοισίας καὶ τῆς Μακεδονίας (²). Ἐντεῦ-

---

mensis a Martio mense inchoans usque ad vicesimam sextam diem Octobris mensis. Opere vero finïto debitas gratias et laudem Deo egit concedenti talem gratiam atque eventum et sanctam elevationem mysteriosam cum clero suo (laudibus ex) tollens fecit memoriam S. Demetrii . . . ». Ὁ δὲ Νέστωρ ἱστορεῖ, ὅτι « ὁ Μεθόδιος καταστήσας δύο ἱερεῖς ταχυγράφους, μετέφρασε πάντα τὰ βιβλία τῆς Γραφῆς ἐκ τοῦ ἑλληνικοῦ εἰς τὸ σλαβικὸν ἰδίωμα ἀπὸ τῆς ἀρχῆς τοῦ Μαΐου μέχρι τῆς 26 τοῦ Ὀκτωβρίου Μηνός ».

(¹) Ὅσον ἀφορᾷ εἰς τὰ Ἀπόκρυφα βιβλία τῆς Π. Δ. σημειωτέον α΄) ὅτι ταῦτα καὶ ἐν τῷ ἰωκημοβείῳ ἀπογράφῳ τῆς ἁγ. Γρ. (1538 ἔτ.) μετεφράσθησαν ἐκ τῆς Βουλγάτας· καὶ αὐτὸς ὁ δοὺξ τῆς Ὀστρογίας οὐχ εὕρισκεν ἐν τῷ χρόνῳ αὐτοῦ τὸ Γ΄ βιβλίον τῶν Μακκαβαίων σλαβονιστί, τὰ δὲ τοῦ Τωβίτ, τῆς Ἰουδεὶθ καὶ τὸ Γ΄ τοῦ Ἔσδρα ἔταξεν ἐν τῇ μεταφράσει ἐκ τῆς Βουλγάτας. β΄) ὅτι ὁ Παννονὸς βιογράφος λέγει διαρρήδην, ὅτι τὰ ἀπόκρυφα τῶν Μακκαβαίων βιβλία οὐ μετεφράσθησαν.

(²) Ἐν τῷ λεξικ. τοῦ Δουκαγγίου : Σκλαβονία ἢ Βουλγαρία. **Glossarium ad Scriptores mediæ**

θεν ὁ βιογράφος τοῦ ἁγίου Κλήμεντος, μαθητοῦ τοῦ Μεθοδίου, καλεῖ τὰ τοῦ Κυρίλλου γράμματα τὸ μὲν σλοβενικά, τὸ δὲ γράμματα ἐξευρεθέντα διὰ τὸ τῶν Σλοβενῶν γένος εἴτ' οὖν Βουλγάρων.

β') Ὁ αὐτὸς βιογράφος τοῦ Κλήμεντος γράφει: «Οὐκ ὀλίγοι γὰρ τῆς διδασκαλικῆς αὐτῶν πηγῆς ἔπινον, ὧν ἔγκριτοί τε καὶ τοῦ χοροῦ κορυφαῖοι Γοράσδος τε καὶ Κλήμης καὶ Ναοὺμ καὶ Ἀγγελάριος καὶ Σάββας». Ὁ αὐτὸς καλέσας τὸν Γοράσδον, Μοραβὸν τὸ γένος, λέγει, ὅτι ἦν ἄμφω τὰ γλώττα, τήν τε σλοβενικὴν καὶ τὴν γραικικὴν ἱκανώτατος, τὸν δὲ Κλήμεντα καλεῖ ἄνδρα λογιώτατον (1). Ἐντεῦθεν δῆλον, ὅτι περὶ τὴν μετάφρασιν τῶν ἑλληνικῶν βιβλίων εἰς τὴν σλαβ. γλῶσσαν ἠσχολοῦντο οὐ μόνον οἱ τῶν Σλάβων φωτισταί, ἀλλὰ καὶ οἱ ἄριστοι τῶν μαθητῶν αὐτῶν. Οὐδεμία δ' ἀμφιβολία, ὅτι οὗτοι, ἑπόμενοι τῷ παραδείγματι τῶν διδασκάλων ἐκείνων, οὐκ ἐπαύοντο καὶ μετὰ τὴν τελευτὴν αὐτῶν ἀσχολούμενοι περὶ τὸ ἔργον τοῦτο. Μέχρι τοῦ νῦν εἰσι γνωσταὶ α') αἱ μεταφράσεις τῶν λόγων τοῦ ἁγίου Γρηγορίου τοῦ Ναζιανζηνοῦ καὶ τῶν ἑρμηνειῶν τοῦ Θεοδωρήτου εἰς τοὺς ψαλμούς, ἀνήκουσαι κατὰ τὴν γλῶσσαν εἰς τοὺς πρώτους χρόνους τῶν σλαβικῶν γραμμάτων (2)· β') ἡ μετάφρασις τῶν κατὰ Ἀρειανῶν τεσσάρων λόγων τοῦ ἁγίου Ἀθανασίου, γενομένη τῷ 906 ὑπὸ Κωνσταντίνου ἐπισκόπου Βουλγαρίας, μαθητοῦ τοῦ Μεθοδίου· ἡ Ἐκλογὴ τῶν ὁμιλιῶν εἰς τὰς Κυριακὰς τοῦ ἔ-

---

et infimæ latinitatis. II. 1392. Ὁ Ἀβουλ-Φαράγιος καλεῖ τὸν Συμεῶνα ἡγεμόνα τῶν Βουλγάρων καὶ τῶν Σλάβων. Histor. dynast. p. 161. Chron. Syriac. p. 178. Περὶ τῶν Σλάβων, τῶν οἰκησάντων περὶ τὴν Θεσσαλονίκην τοὐλάχιστον ἀπὸ τοῦ ς' αἰῶνος, εἰμὴ πρὸ αὐτοῦ, πολλὰ λέγονται ἐν ταῖς ἑλλη. περιγραφαῖς τῶν θαυμάτων τοῦ ἁγίου Δημητρίου.

(1) Β. τοῦ ἁγ. Κλήμ. Viennae, 1808.

(2) Οἱ λόγοι Γρηγορίου τοῦ Ναζιανζηνοῦ, οἱ διασωθέντες ἐν χειρογρ. τοῦ ια' αἰῶνος, καὶ ἡ ἑρμηνεία τοῦ Θεοδωρήτου εἰς τοὺς ψαλμούς, κατὰ τὴν γλῶσσαν ἀνομολογουμένη σύγχρονος τῇ μεταφράσει τῶν λόγων τοῦ Θεολόγου, οὐ δύνανται ἀνήκειν εἰς τὸν αἰῶνα τοῦτον καὶ διὰ τοῦτο, ὅτι κατ' αὐτὸν οὐκ ἠδύνατο ἡ Βουλγαρία

τους ἐκ τῶν ἑρμηνειῶν τοῦ ἁγίου Ἰωάννου τοῦ Χρυσοστόμου εἰς τὸ Εὐαγγέλιον (λζ´ ὁμιλ.) καὶ ἐν μέρει ἐκ τῶν ἐπιστολῶν τοῦ ἁγίου Ἰσιδώρου τοῦ Πηλουσιώτου (ε´ ὁμιλίαι), συνταχθεῖσα ὑπὸ τοῦ αὐτοῦ Κωνσταντίνου, καὶ περιέχουσα προλόγους καὶ ἐπιλόγους συνταχθέντας ὑπ᾽ αὐτοῦ καὶ μίαν ὁλόκληρον ὁμιλίαν αὐτοῦ ([1]). Αὐτῷ ἐπ᾽ ἴσης ἀποδοτέον καὶ τὸν πρόλογον Κωνσταντίνου τοῦ μακαρίου διδασκάλου εἰς τὰ τέσσαρα Εὐαγγέλια ([2]). Ἐν τῷ προλόγῳ Ψαλτηρίου τοῦ ιγ´ αἰῶνος φαίνεται μεταφραστὴς τοῦ Ψαλτηρίου μοναχός τις Σάββας, κατὰ πᾶσαν πιθανότητα, μαθητὴς τοῦ Κυρίλλου καὶ τοῦ Μεθοδίου. Οὐ λέγομεν περὶ τῶν γνωστῶν πόνων τοῦ πεπαιδευμένου πρεσβυτέρου Ἰωάννου, ὃς ἦν ἐπ᾽ ἴσης συνεργάτης τῶν μαθητῶν τοῦ Μεθοδίου ἐν Βουλγαρίᾳ.

Οὕτως εἰργάζοντο οἵ τε ἅγιοι τῶν Σλάβων φωτισταὶ καὶ οἱ μαθηταὶ αὐτῶν! Οὐ περιττὸν δὲ ἡγούμεθα παραθεῖναι ἐνταῦθα καὶ τὰς δοξασίας τῆς τοὺς πόνους τῶν διδασκάλων τῶν Σλάβων καταδιωξάσης Δύσεως. Ὁ Πάπας Ἰωάννης, ὑπερασπίζων τὸν ὑπὸ τῶν Γερμανῶν ἀπηνέστατα καταδιωκόμενον Μεθόδιον ἕνεκα τῆς εἰς τὴν σλαβικὴν γλῶσσαν μεταφράσεως τῆς ἁγίας Γραφῆς καὶ τῆς χρήσεως τῆς γλώσσης ταύτης ἐν τῇ θείᾳ λατρείᾳ, ἔγραψεν: «Οὐδὲ πρὸς τὴν ὑγιᾶ πίστιν καὶ διδασκαλίαν ὅλως ἀντίκειται, εἴτε τὸ τὰς λειτουργίας ἐν τῇ σλαβονικῇ γλώσσῃ ψάλλειν, εἴτε τὸ ἱερὸν Εὐαγγέλιον, ἢ τὰ θεῖα ἀναγνώσματα τῆς Καινῆς καὶ τῆς Παλαιᾶς Διαθήκης, καλῶς μετεννηνεγμένα καὶ μεθηρμηνευμένα, ἀναγινώσκειν, ἢ καὶ πᾶσαν τὴν τῶν Ὡρῶν ἀκολουθίαν ψάλλειν». Ἕτερος δὲ Πάπας, ἀπαγορεύων τὰ σλαβονικὰ βιβλία, ἔγραφεν: «Οὐκ εἰς μάτην εὐδόκησεν ὁ Θεὸς μυστηριώδη εἶναι ἐνιαχοῦ τὴν ἁγίαν Γραφήν, ἵνα μὴ ἄλλως, καταληπτὴ οὖσα ἅπασι, ταπεινῶται καὶ περιφρονῆται». Ἀλλ᾽ οὐχ οὕτως, ὡς ὁ τελευταῖος Πάπας, ἐδίδασκεν ἡ μαρμαρυγώδης Ἀνατολὴ ἐν τῷ προσώπῳ τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδίου!

§. 291. Ὁ ἅγιος Κλήμης ὁ Βελίτζας.

Ὁ διασημότατος τῶν μαθητῶν τῶν ἁγίων Κυρίλλου καὶ Μεθοδί-

ἀσχολεῖσθαι περὶ τὴν μετάφρασιν βιβλίων.

([1]) Συνοδ. χειρόγρ. Ν° 262.
([2]) Ἀκαδημ. Ἐπιστ. VII. 145-148.

ου ἦν ὁ ἐπίσκοπος τῆς ἐν Βουλγαρίᾳ Βελίτζας ἅγιος Κλήμης. Ὧν τὸ γένος Βούλγαρος καὶ ἐκ νεότητος καθιερώσας ἑαυτὸν τῷ Θεῷ, κεκοινώνηκε τοῖς τῶν Σλάβων φωτισταῖς τῶν τε πόνων καὶ τῶν κινδύνων. Ὅτε δὲ μετὰ τὴν τελευτὴν τοῦ ἁγίου Μεθοδίου οἱ Γερμανοὶ ὑπὸ τὸ πρόσχημα ζήλου ὑπὲρ τῆς λατινικῆς πίστεως, πράγματι δὲ ὑπὸ πλεονεξίας καὶ φιλαρχίας ἐλαυνόμενοι, διήγειραν ἐν Παννονίᾳ δεινὸν κατὰ τῆς ὀρθοδοξίας καὶ τῶν διδασκάλων αὐτῆς διωγμόν, οἱ δὲ τοῦ Μεθοδίου μαθηταὶ ἠναγκάσθησαν διασπαρῆναι, ὅποι ἕκαστος ἠδύνατο, τότε οἱ μακάριοι Κλήμης, Ναούμ, καὶ Ἀγγελάριος, ἀφικόμενοι εἰς τὴν Βελαγράδην, ἐνεφανίσθησαν τῷ τότε φυλάσσοντι αὐτὴν Βοριτακάν, ᾧ ἀπήγγειλαν πάντα τὰ περὶ αὐτούς. « Ὡς δὲ ταῦτα μαθὼν ἐκεῖνος, λέγει ὁ τοῦ Κλήμεντος βιογράφος, ἔννοιαν ἔλαβε τοῦ μεγάλους εἶναι τοὺς ἄνδρας καὶ Θεῷ πλησιάζοντας, δεῖν ἔγνω πρὸς τὸν ἄρχοντα Βουλγαρίας Βορίσην (οὗπερ αὐτὸς ὑποστράτηγος ἦν) ὑποστεῖλαι τοὺς ξένους . . . . ἐπεὶ δὲ τῷ Βορίσῃ προσῆλθον, ὑποδεχθέντες ἐντίμως, καὶ ὡς ἔδει, τοὺς πάντα σεμνούς τε καὶ σεβασμίους, ἐπηρώτα τὸ κατ᾽ αὐτούς. Οἱ δὲ πάντα κατέλεγον ἀπ᾽ ἀρχῆς ἄχρι τέλους μηδὲν ἐλλείποντες ». Ὁ εὐσεβὴς ἡγεμὼν συνέστησε τὸ πρῶτον τὸν Κλήμεντα τῷ εὐεργετικῷ μεγιστᾶνι Ἐχάτζῃ, ὃς μετὰ χαρᾶς παρέλαβεν αὐτὸν εἰς τὴν ἑαυτοῦ οἰκίαν. Ὁ Κλήμης ἠσχολήθη μετ᾽ ἄκρου ζήλου περὶ τὴν διδασκαλίαν τῶν παίδων. Μετά τινα ἔτη ὁ Βορίσης, διελὼν τὸ νότιον τοῦ κράτους αὐτοῦ μέρος, τὸ καλούμενον Κουτμιτζιβίτζαν, ὥρισε τὸν Δοβετᾶν πρωτεύουσαν αὐτοῦ, ἵνα ᾖ ὁ Κλήμης ἐπίσκοπος ταύτης τῆς ἐπαρχίας. Ὁ Βορίσης ἐδωρήσατο αὐτῷ τρεῖς οἴκους ἐν Διοβέλει καὶ ἀναπαύσεως τόπους ἐν Ἀχρίδι καὶ Γλαβενίτζῃ. Ὁ νέος ἀρχιποίμην ἐσπούδασε φανῆναι ἄξιος τῆς πρὸς αὐτὸν εὐνοίας τοῦ ἡγεμόνος. Ἐπεσκέπτετο τοὺς ἐμπιστευθέντας αὐτῷ τόπους καὶ κατήγγελε μεγαλοφώνως τοῖς Βουλγάροις τὸ τοῦ Θεοῦ σωτήριον. Κατ᾽ ἐξοχὴν δ᾽ ἐμερίμνα περὶ τῆς ἐκπαιδεύσεως τῶν παίδων. Οἱ μαθηταὶ αὐτοῦ ταχέως ἠριθμοῦντο εἰς τρισχιλίους καὶ πεντακοσίους. « Οὐκ εἴδομεν αὐτόν, λέγει ὁ βιογράφος αὐτοῦ, ἠσχολακότα ποτέ, ἀλλ᾽ ἢ παῖδας ἐδίδασκε, καὶ τούτους ποικίλως, τοῖς μὲν τὸν τῶν γραμμάτων χαρακτῆρα γνωρίζων, τοῖς δὲ τὸν τῶν γεγραμμένων νοῦν

σαφηνίζων, ἄλλοις πρὸς τὸ γράφειν τὰς χεῖρας τυπῶν· καὶ οὐχ ἡμέρας μόνον, ἀλλὰ δὴ καὶ νυκτὸς ἢ προσευχῇ ἑαυτὸν ἐδίδου, ἢ τῇ ἀναγνώσει προσεῖχεν, ἢ βίβλους ἔγραφεν, ἔστι δ᾽ ὅτε καὶ δυσὶν ἔργοις κατὰ τ᾽ αὐτὸ ἐμερίζετο, γράφων καὶ τοῖς παισὶ τῶν μαθημάτων τὶ ὑφηγούμενος . . . .». Ἐκ τῶν μαθητῶν αὐτοῦ ἐχειροτόνησε διακόνους καὶ πρεσβυτέρους. Ἐν Ἀχρίδι ἐδείματο μοναστήριον μετὰ ναοῦ εἰς τιμὴν τοῦ Μεγαλομάρτυρος Παντελεήμονος. Ἐνταῦθα ἐδείματο ἐπ᾽ ἴσης δύο ἄλλους ναούς. Ἐπὶ τοῦ υἱοῦ τοῦ Βορίσου, τοῦ ἡγεμόνος Συμεών, ἐγένετο Ἀρχιεπίσκοπος Βελίτζας. Ὁ ἅγιος Κλήμης ἐξεδήμησε πρὸς Κύριον τῷ 916ῳ σωτηρίῳ ἔτει, καὶ ἡ μνήμη αὐτοῦ τελεῖται τῇ κα᾽ Ἰουλίου.

Ὁ τὸν βίον τοῦ ἁγίου Κλήμεντος γράψας ἀποκαλεῖ αὐτὸν λογιώτατον, καὶ λέγει, ὅτι ἔγραψε α᾽) λόγους εἰς πάσας τὰς ἑορτὰς ἁπλοῦς καὶ σαφεῖς· β᾽) ἐγκώμια εἰς τὴν πάναγνον Θεοτόκον, εἰς τὸν Βαπτιστήν, εἰς Προφήτας καὶ Ἀποστόλους, εἰς Μάρτυρας, καὶ εἰς Πατέρας· γ᾽) διηγήσεις περὶ τῶν Ἁγίων. Κατὰ τὸν αὐτὸν βιογράφον, μετέφρασε μικρὸν πρὸ τοῦ θανάτου αὐτοῦ ἐκ τῆς ἑλλην. κῆς γλώσσης εἰς τὴν σλαβ. τὸ Πεντηκοστάριον. Μέχρι τοῦ νῦν εὑρέθησαν τὰ ἑξῆς αὐτοῦ συγγράμματα: α᾽) ὁμιλίαι εἰς Κυριακήν, εἰς ἑορτὴν Ἀποστόλου, εἰς ἑορτὴν ἁγίου· β᾽) ἐγκωμιαστικοὶ λόγοι: εἰς τὴν Κοίμησιν τῆς Θεοτόκου, εἰς Ἰωάννην τὸν Πρόδρομον, εἰς τὸν ἅγιον Ζαχαρίαν, εἰς τὸν ἅγιον Λάζαρον, εἰς τὸν ἅγι-Μ. Δημήτριον, εἰς τοὺς Ἀρχιστρατήγους, εἰς τὸν ἅγιον Κλήμεντα τὸν Ρώμης, εἰς τὸν ἅγιον Κύριλλον τὸν Σλάβον, εἰς τοὺς ἐνδόξους διδασκάλους τῶν Σλάβων τοὺς μεθερμηνεύσαντας τὴν Παλαιὰν καὶ Καινὴν Διαθήκην εἰς τὴν γλῶσσαν αὐτῶν, τοὺς μακαρίους Κύριλλον καὶ Μεθόδιον· γ᾽) δύο βίοι, ὧν ὁ μὲν τοῦ ἁγίου Κυρίλλου διδασκάλου τῶν Σλάβων, ὁ δὲ τοῦ ἁγίου Μεθοδίου Ἀχιεπισκόπου Μοραβίας.

§. 292. Νικόλαος ὁ Μυστικός· α᾽) ἐν τῷ βίῳ.

Νικόλαος ὁ Μυστικὸς ἀπὸ τοῦ 896 - 925 Πατριάρχης

Κωνσταντινουπόλεως. Ἡ ἐπωνυμία τοῦ Μυστικοῦ δείκνυσιν, ὅτι ὑπηρέτησε παρὰ τῇ αὐλῇ. Πρὶν ἢ ἀναβῇ ἐπὶ τὸν Πατριαρχικὸν θρόνον ἦν γνωστός, ὡς μοναχὸς λίαν αὐστηροῦ βίου. Ὅτε ἐπῆλθε τῷ Αὐτοκράτορι Λέοντι (τῷ 961), τρίτης χηρεύσαντι γυναικός, καὶ τετάρτης πρὸς πεῖραν ἐλθεῖν, ὁ ἅγιος Πατριάρχης ἐδήλωσεν, ὅτι ἡ τετραγαμία ἀντίκειται τοῖς ἐκκλησιαστικοῖς κανόσι. Ὅτε δὲ ἐτελέσθη ὁ γάμος, ἐστέρησεν ὁ θεῖος Ποιμὴν τὸν τελέσαντα αὐτὸν πρεσβύτερον Θωμᾶν τὸ τῆς ἱερωσύνης ἀξίωμα, τῷ δ' Αὐτοκράτορι ἀπηγόρευσεν εἰσέρχεσθαι εἰς τὴν Ἐκκλησίαν. Ἐντεῦθεν δ' ἐξώσθη βιαίως τοῦ θρόνου καὶ ὑπερωρίσθη. Μετὰ τὴν τελευτὴν τοῦ Λέοντος (τῷ 911) ἐπανῆλθεν (τῷ 911) εἰς τὸν θρόνον αὐτοῦ, καὶ κατὰ τὸ ἐπιὸν ἔτος ἐγένετο ἐπίτροπος τοῦ ἀνήλικος Αὐτοκράτορος Κωνσταντίνου. Κατὰ τὸ αὐτὸ ἔτος ἔγραψε πρὸς τὸν Πάπαν Ἀναστάσιον τὸν Γ΄ μακρὰν ἐπιστολήν, ἐν ᾗ καταδείκνυσιν αὐτῷ, ὅτι οἱ τοῦ ρωμαίου ἐπισκόπου τοποτηρηταὶ προσηνέχθησαν αὐτῷ οὐ κατὰ συνείδησιν, διότι ἐκύρωσαν τὴν ἐξορίαν αὐτοῦ μηδὲν μήτε πολυπραγμονήσαντες μήτε μαθεῖν βουληθέντες παρ' αὐτοῦ. Τῷ 912 ὁ τῆς Βουλγαρίας ἡγεμὼν Συμεὼν ἐπέδραμε τῇ Αὐτοκρατορίᾳ· ὁ δὲ εὐσεβὴς Πατριάρχης ἐσπούδασε πεῖσαι αὐτὸν δι' ἐπιστολῶν εἰρήνην ποιήσασθαι πρὸς τοὺς Ἕλληνας· αἱ δ' εὐλαβεῖς τοῦ ἱεράρχου μέριμναι ἐπέτυχον καθ' ὁλοκληρίαν. Ὁ Συμεὼν ἀπεδέξατο τὴν εἰρήνην, ἐφ' ᾗ χαρεὶς ὁ Πατριάρχης, ἐπέθηκε τῇ κεφαλῇ ἐκείνου ἀντὶ στέμματος τὸ ἑαυτοῦ ἐπιρρηπτάριον εἰς σημεῖον εὐλογίας (1). Τῷ 916 ἀπέστειλε πρὸς τὸν Πάπαν Ἰωάννην πρεσβευτὰς μετ' ἐπιστολῶν, προτρέπων αὐτὸν κυρῶσαι τὴν μετὰ τῆς Ἀνατολῆς ἕνωσιν τῆς Δύσεως, ὑπὸ τοῦ Πάπα διαταραχθεῖσαν (2). Κατὰ τὸ ἐπιὸν ἔτος κατώρθωσεν ἡ ἀλαζὼν Ζωὴ ἀπομακρῦναι αὐτὸν τῆς αὐλῆς, ἀλλὰ διετέλει ὁ μακάριος ἰθύνων τὴν Ἐκκλησίαν μέχρις αὐτῆς τῆς τελευτῆς αὐτοῦ, δῆλα δὴ μέχρι τοῦ 930ου σωτηρίου ἔτους (3).

(1) Σκυλίτζ.

(2) Πρὸς τὸν Πάπαν Ἰωάννην ἔγραψε τρεῖς ἐπιστολὰς (νγ΄ νς΄ οζ΄) καὶ πρὸς τοὺς Ρωμαίους δύο (νδ΄ νε΄), αἵτινες ἐξεδόθ. ὑπὸ τοῦ Μαΐου in Spicil. Rom. T. X.

(3) Βλ. Henschen. in Act. SS. Bolland. Maii T. III. die 15, pag. 507o, ἔνθα λέγει περὶ αὐτοῦ: ac tandem plenus dierum ac meri-

§. 293. β') Ἐν τοῖς συγγράμμασι.

Τὰ νῦν γνωστὰ συγγράμματα αὐτοῦ εἰσι τάδε:

1) Ὁμολογία πίστεως ἐπιγραφομένη: Σύμβολον πίστεως ἐπιδοθὲν ἐπὶ τῇ τῆς ἐπισκοπῆς Νικολάου προχειρήσει. Ἐν αὐτῇ ὁμολογεῖ ὁ Νικόλαος μετὰ τὸ προοίμιον πρὸς τοὺς παρόντας ἐπισκόπους τὴν πίστιν αὐτοῦ εἰς τὴν ἁγίαν Τριάδα ἀκριβῶς καὶ εὐκρινῶς, ἔπειτα ποιεῖται λόγον περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, ἣν ἐπ' ἴσης ἐκτίθησι κατὰ διαφόρων πλανῶν. Τέλος δὲ ὁμολογεῖ τὴν ὑποταγὴν αὐτοῦ ταῖς τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων, ἃς καταλέγει, ἀποφάσεσι (¹).

2) Ὁμιλία εἰς τὴν ἅλωσιν τῆς Θεσσαλονίκης, ῥηθεῖσα ἐν ἄμβωνι τῆς Μεγάλης Ἐκκλησίας μετὰ τὴν εἴσοδον. Περὶ τὸ μέσον τῆς ὁμιλίας ταύτης λέγει ὁ περιαλγὴς Πατριάρχης: «Νῦν ἐφ' ἡμᾶς ἐξεχύθη ἄκρατος ἡ ὀργή, καὶ ὁ παρρησιαζόμενος ἢ ἀναστέλλων οὐδείς. Ἐκενώθησαν πόλεις οἰκητόρων, ἄνδρες ἴσα βοσκήμασι κατεσφάγησαν, γυναῖκες διασπώμεναι τῶν ὁμοζύγων βιαίως, ἐλεεινὸν θέαμα, τοῖς ἀσελγεστάτοις ἐνασχημονούμεναι πρόκεινται. Τίς δώσει τοῖς ἐμοῖς ὀφθαλμοῖς δακρύων πηγάς, καὶ κλαύσομαι ταῦτα καὶ τὰ τούτων ἐλεεινότερα; Ἐβεβηλώθησαν παρθένοι ἀφιερώμεναι οὐρανίῳ νυμφῶνι πρὸς ὕβριν ἀπα-

---

torum migravit ad Christum hoc 15 Maii: ad quem diem, *sancti* sive τοῦ ἐν ἁγίοις, Patriarchæ Constantinopolitani Nicolai depositio inscripta est per vetasto Synaxario Ecclesiae Constantinopolitanæ, quod est Collegii Claromontani societatis Jesu Parisiis. Ejusdem Patriarchae Nicolai sacra memoria ad eamdem diem celebratur in Menaeis mss. Mediolanensibus Bibliothecæ Ambrosianæ signatis littera O. et. n. 148 et in unis Menæis ducis Sabaudiæ: in alteris vero refertur ad diem sequentem 16 Maii, uti etiam in Parisiensibus Cardinalis Mazarini. At pridie sive ad diem 4 Maii, in mss. Divionensibus Petri Fransisci Chiffletii, dicitur S. Nicolaus Patriareha Constantinopolitanus in pace quievisse, adjungiturque hoc distichon:

Ὁ Νικόλαος ἐκλιπὼν σκιὰν βίου,
Πρὸς ἄσκιον μετῆλθε φωτὸς χωρίον.

(¹) In Maii Spicil. Roman. T.

χθεῖσαι, θυσιαστήρια τοῦ Θεοῦ τῇ τῶν ἀκαθάρτων ἐχράνθη ἀκαθαρσίᾳ, μονάζοντας καὶ ἱερεῖς ξίφος καὶ δουλεία μερίζεται. Οἴμοι τῶν ἐμῶν κακῶν τὸ βαρύτατον! τὰ πολύαθλα τῶν ἁγίων λειψάνων παίζεται τοῖς βεϐήλοις καὶ καταικίζεται, καὶ μετὰ θάνατον δευτέρους ἄθλους ὑφίστανται. Ποῦ μοι, Δημήτριε Μάρτυς, ἡ ἀήττητος συμμαχία; πῶς τὴν σὴν πόλιν ὑπερεῖδες πορθουμένην; πῶς ὑπὸ σοὶ πολιούχῳ ἡ ἐχθροῖς ἄϐατος, ἀφ᾽ οὗ χρόνου ταύτην ἥλιος ἐθεάσατο, τοσούτων κακῶν εἰς πεῖραν ἐγένετο; πῶς τῆς τῶν δυσσεϐούντων ὀφρύος ἠνέσχου κατορχουμένης τῆς ἱερᾶς προστασίας; πῶς ὑπέμεινας ταῦτα καὶ διεκαρτέρησας; κ. τ. λ.».

3) Ὁ ἱεράρχης ἔγραψεν καὶ ἑρμηνείαν εἰς τὴν ἁγίαν Γραφήν (¹).

4) Τὰς ἑαυτοῦ ἐννοίας ἐξέθηκε κατ᾽ ἐξοχὴν ἐν ταῖς ἐπιστολαῖς, ὧν διεσώθησαν εἰς ἡμᾶς ρξγ´ (²). Ἐξετάσωμεν τὰς σημαντικωτάτας αὐτῶν.

α´) Ταῖς δυσὶν ἐπιστολαῖς τῷ περιδόξῳ καὶ λαμπροτάτῳ Ἀμηρᾷ τῆς Κρήτης (ἐπ. α´ καὶ β´) προτρέπει αὐτὸν εἶναι δίκαιον πρὸς τοὺς χριστιανοὺς τῆς Κύπρου.

β´) Ἐν ταῖς πρὸς Συμεὼν ἄρχοντα Βουλγαρίας κζ´ ἐπιστολαῖς (³) ἐκχέει ὁ Πατριάρχης ἅπασαν τὴν εὐφράδειαν τῆς ποιμαντικῆς ἀγάπης, ὅπως πείσῃ αὐτὸν διάλυσιν ποιήσασθαι τοῦ πρὸς τὴν αὐτοκρατορίαν ὀλεθρίου πολέμου. «Αὐτὸ τοῦτο, λέγει αὐτῷ, τῆς καλῆς καὶ φρονίμης ἐπιστολῆς σου τὸ προηγούμενον ῥῆμα, κἀγὼ προηγούμενον τίθημι, τέκνον ἐμόν, εἴπερ δεῖ τέκνον καλεῖν τὸ ὑϐρίζειν πατέρα τέκνον, πατὴρ δὲ σός, ἄν τε μὴ βούλῃ, ἐπίσκοπος, εἰ καὶ ἐλάχιστος ὁ τὴν εἰς Θεὸν μὴ ἀπηρνημένος εὐσέϐειαν· καὶ γὰρ εἰ καὶ ἁμαρτωλοί, ἀλλ᾽ οὐχ ὑμᾶς ἐπίσκοποι κριτὰς ἔχουσιν· ὑμῶν δὲ κριταὶ τυγχάνουσι οἱ ἐπίσκοποι, εἴ γε τῆς Χριστοῦ ἀγέλης ἐστέ, καὶ μὴ τῆς ἐκείνου ποίμνης πλανώμενοι· ἀλλ᾽ ἐμωράνθημεν, ὡς ἔφης ὁ φρόνιμος σύ· εὐχαριστοῦμεν τῷ Θεῷ ἡμῶν τῷ χάριν τῶν ἁμαρτι-

X. Praefatio p. 9.

(¹) Possevini Apparat. p. 46.

(²) Ἐξεδόθη ὑπὸ Μαΐου ἑλληνιστὶ μόνον in Spicil. Rom. T. X.

(³) Ap. Maium ep. 4-31. Τούτων ἡ δ´ καὶ ἡ ιϐ´ τῷ Ἀρχιεπισκό-

ῶν ἡμῶν εἰς τὸ ἔδαφος τῆς ὕϐρεως ἡμᾶς ῥίψαντι. Ἀλλ᾽ εἰπέ μοι ὁ σοφὸς σὺ καὶ φρονιμώτατος, εἰ ἐγὼ μωρὸς ὁ γηραιὸς πατὴρ καὶ δυσωπῶν παῖδα νεανίαν ὑπὲρ εἰρήνης, ὑπὲρ διαλλαγῆς, ὑπὲρ τοῦ λῆξαι κενούμενα χριστιανῶν αἵματα, τίς ἂν εἴη νεανίας υἱὸς ὁ τὸν πατέρα εἰρηνικὰ δυσωποῦντα μωρὸν ἀποκαλῶν; Πρόσχες οἷα φρονεῖς, οἷα λέγεις, οἷα γράφεις. . . . » (1). « Οἱ θεοστεφεῖς ἡμῶν βασιλεῖς καθὼς πολλάκις οὕτω καὶ νῦν, τὴν εἰρήνην ἐπιζητοῦσι, καὶ παντὶ τρόπῳ τὰ ἐκ τῶν προλαϐόντων ἀνθρώπων παρακολουθήσαντα σφάλματα θεραπευθῆναι σπουδάζουσι. Διὰ τοῦτο καὶ νῦν ἀπέστειλαν ἀνθρώπους, οἳ περὶ τῆς εἰρήνης ὑμῖν συλλαλήσουσι, καὶ ἔστι σὸν καὶ τῆς σῆς τελειοτάτης συνέσεως εἰς τὰς πρεπούσας συμϐάσεις καὶ Θεῷ εὐαρέστους, καὶ κοινῶς συμφερούσας Ῥωμαίοις καὶ Βουλγάροις συνελθεῖν. . . . καὶ ὑμεῖς μὲν ὡς τέκνα τοὺς πατέρας ἐπιγινώσκετε, παρ᾽ ὧν ἐδέξασθε καὶ τοῦ ἁγίου Βαπτίσματος τὴν χάριν, καὶ οἱ Ῥωμαῖοι ὡς πατέρες τὰ οἰκεῖα ἐν Χριστῷ τέκνα τοὺς Βουλγάρους ἐπιγινώσκουσι, καὶ Θεὸς ἐπὶ τούτοις δοξάζηται, καὶ τὰ τοῦ κοινοῦ βίου καὶ τῆς ζωῆς πράγματα Ῥωμαίοις καὶ Βουλγάροις πρὸς τὴν ἐξ ἀρχῆς ἀποκαταστῇ εὐκληρίαν τε καὶ ἀπόλαυσιν. . .» (2)· Παρακαλῶν δὲ τὸν Συμεὼν καταπαῦσαι τὸν ἄδικον πόλεμον, ἐκτίθησιν αὐτῷ τὰ παραδείγματα τῆς θείας ὀργῆς διὰ τὴν ἀδικίαν κατὰ τοῦ Γότθου Γαϊανᾶ (3), Βωγᾶ τοῦ τῆς Χερσῶνος στρατηγοῦ καὶ κατὰ τῶν Πατζινακιτῶν (4), Λέοντος τοῦ Τριπολίτου, τοῦ ἐκπορθήσαντος τὴν Θεσσαλονίκην καὶ παρὰ τὴν Λῆμνον καταστραφέντος (5), τοῦ Πέρσου Χοσρόου καὶ τῶν Σαρακηνῶν. « Ἀλλὰ καὶ ἄνω τούτων τὰ τῶν Ἀϐάρων γένη, ὧν ὑμεῖς ἀποσπάδες, καὶ μηδὲν σοὶ πρὸς βάρος ὁ λόγος, καὶ δοῦλοι καὶ δραπέται γεγόνατε, ἐπὶ πλεῖστον τὴν μεγάλην ταύτην καὶ ὑπὸ τῇ πάντων δεσποίνῃ καὶ κυρίᾳ στρατηγουμένῃ πόλει, μέχρι καὶ τῶν τειχῶν ἐπέδραμον· ἀλλὰ καὶ οὗτοι ἀπώλοντο, καὶ οὐδὲ λείψανον τοῦ γένους ὑφίσταται, αὕτη δὲ σὺν τῇ λαχούσῃ

πῳ Βουλγαρίας.

(1) Αὐτόθ. σελ. 200.

(2) Αὐτόθ. σελ. 279

(3) Αὐτόθ. σελ. 239-241.

(4) Σελ. 194-196.

(5) Σελ. 257.

αὐτῇ ἐξ ἀρχῆς καὶ δόξῃ καὶ βασιλείᾳ φαιδρύνεται» ([1]).

γ΄) Ἐν μιᾷ τῶν πρὸς Γεώργιον τὸν ἐξουσιαστὴν Ἀϐασγίας τριῶν ἐπιστολῶν γράφει: «Καὶ γὰρ τοῦ μὲν φιλοθέου ἀπόδειξις ἡ ἔνθεός σου σπουδή, ἣν ἐπὶ τῇ σωτηρίᾳ καὶ τῇ ἐπιγνώσει τῆς ἀληθείας τοῦ ἔθνους τῶν Ἀλανῶν ἐπεδείξω καὶ ἐπιδείκνυσαι· ἀνεμάθομεν γὰρ ἐκ διαφόρων τῶν ἐπισταμένων τὰ σὰ κατορθώματα, ὡς μετά γε Θεὸν πολλὴν τὴν πρόνοιαν κατεϐάλου εἴς τε τὸν φωτισμὸν τοῦ τῆς Ἀλανίας ἄρχοντος, καὶ εἰς τοὺς ὅσοι σὺν αὐτῷ κατηξιώθησαν τοῦ ἁγίου Βαπτίσματος· τῆς δὲ χρηστότητος τῶν τρόπων καὶ τῆς εὐποιΐας τίς ἄλλη προφανεστέρα ἔσται ἀπόδειξις; ἢ τὶς ἂν ἄλλο ἐπιζητήσῃ μαρτύριον; ἀρκούσης τῆς ξενοδοχίας, τῆς θεραπείας, τῆς ἄλλης ἐν πᾶσι παραμυθίας, ὅση δυνατὴ χορηγεῖσθαι, ἣν εἰς τὸν θεοφιλέστατον Ἀρχιεπίσκοπον τὸ τέκνον ἡμῶν, ὅλῃ προαιρέσει καὶ ὅλῃ ψυχῇ ὤφθης ἐπιδειξάμενος» ([2]). Πρὸς δὲ τὸν Ἀρχιεπίσκοπον Ἀλανίας Πέτρον, ᾧ τοσοῦτον ἐϐοήθει ὁ Γεώργιος, ἔγραψεν ὁ Πατριάρχης ἐπιστολάς τινας, αἷς παρεκάλει αὐτὸν εἶναι εὐσταθῆ ἐν τῷ τῆς ὑπηρεσίας τῆς πίστεως δυσχερεῖ ἀγῶνι ([3]). Καὶ ἐν μιᾷ τῶν πρὸς τὸν ἄρχοντα τῶν Βουλγάρων ἔγραφεν ὁ ἱεράρχης: «Ὁ δὲ τοῦ γράμματος ἀποκομιστὴς ἀπολαυσάτω τῆς σῆς ἐπιεικείας, τοῦτο μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετήν, καὶ γὰρ ὁ ἄνθρωπός ἐστι μὲν τῶν ἐν Ὀλύμπῳ ἀσκητῶν καθηγούμενος, οὐ μὴν ἀλλὰ καὶ τὸν λόγον τῆς πίστεως ἐν Ἀλανοῖς οὗτος ἐν τῇ δυνάμει τοῦ παναγίου ἔσπειρε Πνεύματος, καὶ ἴσα τοῖς θείοις Ἀποστόλοις λειτουργῆσαι παρὰ Θεοῦ ἀποκεκλήρωται. Ἔστι μὲν οὖν ταῦτα μέγιστα πρὸς τὸ συστῆσαι αὐτὸν καὶ οἰκειῶσαι τέκνον ἡμῶν τῇ σῇ θεοτιμήτῳ Ἐξουσίᾳ» ([4]).

δ΄) Πλείστου ἀξία ἐστὶν ἡ ἐπιστολὴ τοῦ Πατριάρχου πρὸς τὸν ἄρχοντα τῶν Ἀρμενίων. «Οὐδέν, λέγει, εὐσεϐείας περισπουδαστότερον, οὐδὲ τῷ παντὶ βίῳ τῶν ἀνθρώπων σωτηριωδέστερον· ταύτης γὰρ ἐμπολιτευομένης, οὐκ ἄδηλον ὡς θεραπεύεται Θεός. Θεοῦ δὲ

([1]) Σελ. 201.

([2]) Αὐτόθ. ἐπιστ. να΄ σελ. 322. 323. Πρὸς αὐτὸν ἔγραψαν ἔτι δύο ἐπιστ. (τὴν μϛ΄ καὶ τὴν ρξϛ΄).

([3]) Αὐτόθ. ἐπιστ. νϐ΄ ριη΄ ρλγ΄-ρμε΄.

([4]) Αὐτόθ. σελ. 200.

θεραπεία πάντα μὲν χορηγεῖ τὰ καλὰ καὶ συμφέροντα, πάντων δὲ τῶν ἀσυμφόρων ἀπελαύνει τὴν παρουσίαν. Οὕτω καὶ ἰδίᾳ ἕκαστος μακαρίως βιώσεται, καὶ οἶκος καὶ πόλις, ναὶ δὴ καὶ ἔθνος μακαρίαν ἕξει τὴν διαγωγὴν καὶ τὴν κατάστασιν. Τούτου δὲ οὕτως ἔχοντος, ἀντιποιοῦνται μὲν πλεῖστοι τῆς οἰκείας δόξης ὡς εὐσεβοῦς, καὶ μάλιστα ὅταν ὦσι προλήψει κεκρατημένοι· δεινὸν γὰρ ἡ πρόληψις κατέχειν τὸ παρατεθὲν ἐν τῇ ψυχῇ δόγμα, κἂν ᾖ τῶν ἀτοπωτάτων καὶ τῶν εἰς ἀπώλειαν ἀπαγόντων. Ὥσπερ γὰρ ἐπὶ τῶν ἄλλων ἐστὶν ἰδεῖν, ὅσα βαφῆς ἐστι δεκτικά, ὅτι πολλὰ τῶν εἰς βάθος διαδύντων χρωμάτων ἀνέκπλυτα διαδείκνυνται, καὶ πρότερον διαρρήγνυνται μᾶλλον ἢ τὴν βαφὴν ἀποτίθενται, οὕτω καὶ ἐπὶ τῆς ἀνθρωπίνης ἐστὶν ἰδεῖν φύσεως, ὡς πολλοὶ δόξαν πονηρὰν ἐν τῇ ψυχῇ παραδεξάμενοι φθάσαντες, οὐκ ἐθέλουσι ταύτην ἀποβαλεῖν, οὐδὲ τοῦ ἀμείνονος γενέσθαι φρονήματος, ἀλλὰ μᾶλλον προαιροῦνται σὺν ἐκείνῃ τῇ ζωῇ καταλύειν . . . Ταῦτά σοι, τέκνον ἡμῶν, προοιμιαζόμενον λέγει τὸ γράμμα διὰ τὴν τῶν σῶν ἀποκρισιαρίων ἀπαγγελίαν· φασὶ γὰρ ὡς τοῦ καθ᾽ ὑμᾶς ἐκδημήσαντος καθολικοῦ τῆς ζωῆς διανοεῖσθαι, οἷα δὴ τοῦ μεγάλου καὶ θεοστεφοῦς ἡμῶν βασιλέως γνήσιοι καὶ ὁμόψυχοι φίλοι, καὶ ὁμοφρονεῖν αὐτῷ ἐν πᾶσι σπουδάζοντες, ἐκ τῆς ἐνταῦθα Ἐκκλησίας τὸν εἰς ἀρχιερέα ἡμῶν καταστήσεσθαι μέλλοντα λαβεῖν τὴν προχείρησιν, καὶ Θεοῦ εὐδοκίᾳ ἕνα τοῦτον γινώσκεσθαι τῶν σὺν ἡμῖν τὸ ἅγιον κυκλούντων θυσιαστήριον. Ἐπεὶ οὖν τοῦτο μετὰ τῆς ἄλλης δεδομένης παρὰ Θεοῦ φιλοτιμίας καὶ χάριτος παρεσχέθη (οἶδας γὰρ συνετὸς ὢν ὅσης ἀπήλαυσας τῆς παρὰ Θεοῦ εὐεργεσίας, ἧς καὶ τοῦτο τυγχάνει τὸ λογισμὸν τοιοῦτον ἀναλαβεῖν, ὥστε κατὰ πάντα ἡνωμένον γενέσθαι τῷ θεοφρουρήτῳ ἡμῶν βασιλεῖ) ἐκεῖνό ἐστιν ὑπόλοιπον τὸ στεῖλαι πρὸς τὰ ἐνταῦθα τὸν Θεοῦ κατανεύσει μέλλοντα εἰς ἀρχιερέα Ὑμῶν καταστῆναι, ὥστε καὶ τὸ δόγμα τῆς εὐσεβείας παραλαβεῖν ἀκριβέστερον, καὶ διὰ τῆς σὺν ἡμῖν ὅσης δεήσει διατριβῆς τά τε πρὸς εὐσέβειαν συντείνοντα, καὶ πρὸς τὴν ἐκκλησιαστικὴν ἐκπαιδευθῆναι κατάστασιν, καὶ οὕτω τῆς χειροθεσίας τυχόντα πρὸς τὴν ὑμετέραν ἐπανελθεῖν λαμπροτάτην εὐγένειαν καὶ τὸ πλήρωμα τῆς ὑμετέρας ἐξουσίας. Ὥσπερ γὰρ τῇ ὁμολογίᾳ τῆς φιλίας προσῳκειωμένος ὑπάρχεις τῷ τε φιλοχρίστῳ ἡμῶν

βασιλεῖ καὶ τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ τοῦ Θεοῦ Ἐκκλησίᾳ. οὕτω δέον ἐστὶ συνοικειούμενον εἶναι καὶ τῇ τῆς πίστεως ὁμολογίᾳ, καὶ τῷ φρονήματι τῶν ὀρθῶν δογμάτων. Ἀλλὰ μὴ καθάπερ μέχρι τοῦ νῦν οὐκ οἶδα ὅπως τὸ τοιούτου κακοῦ παρεμπεσόντος τῇ μὲν φιλίᾳ δοκεῖν συνάπτεσθαι, τῇ δὲ κατὰ τὴν πίστιν κοινωνίᾳ διΐστασθαι· περὶ οὗ καὶ τῷ ἡμετέρῳ, φαμὲν δὲ Φωτίῳ, τῷ ἁγιωτάτῳ Πατριάρχῃ οὐ μικρὸς ἀγὼν καταβέβληται, τοῦτο μὲν λόγοις, τοῦτο δὲ καὶ ἀποστολῇ ἀνδρῶν, εἰ καὶ τῶν πραγμάτων αἱ περιπέτειαι ἐπὶ τὸ τέλος ἐλθεῖν τὴν σπουδὴν ἐκώλυσαν . . .» Ὁ Πατριάρχης παρακαλεῖ αὐτὸν ἐπιτελέσαι τὴν εὐσεβῆ πρόθεσιν (¹). Τῷ 897 ὁ Μασσδὸτζ ἀνῆλθεν ἐπὶ τὸν θρόνον, ὃν ἴθυνεν ἑπτὰ μόνον μῆνας. Διάδοχος αὐτοῦ ἦν Ἰωάννης ὁ ς΄, ὁ ἐπικαλούμενος Βαδμαπάν, ἤτοι ἱστορικός. Οὗτος γράφει ἐν τῇ ἑαυτοῦ ἱστορίᾳ, ὅτι εἰ καὶ οὐχ ἅπαξ μετεπέμψατο αὐτὸν εἰς Κωνσταντινούπολιν ὁ αὐτοκράτωρ Κωνσταντῖνος διὰ τοῦ πρεσβευτοῦ αὐτοῦ Θεοδοσίου, ὅμως φοβούμενος μὴ διεγείρῃ καθ' ἑαυτοῦ τὴν δυσαρέστησιν τοῦ λαοῦ, οὐ μετέβη ἐκεῖσε (²). Νερσῆς, ὁ ἐκ τῆς πόλεως Λαμπρῶν εἶπε πρὸς τοὺς Ἀρμενίους ἐν συνόδῳ: «Διὰ τί ἐπελάθεσθε τῆς μετὰ τῆς ἁγίας ἑλληνικῆς Ἐκκλησίας συμφωνίας τοῦ Καθολικοῦ Β α γ ά ν, καὶ τῶν ἡγεμόνων καὶ τῶν διδασκάλων τῶν τὴν γνώμην αὐτοῦ ἀποδεξαμένων; Ἐν τοῖς τελευταίοις ἦν εἷς θεῖος, καὶ ἐν πολλοῖς ἔξοχος, ὁ ἐν μορφῇ ἀνθρώπου ἄγγελος, Γρηγόριος ὁ Ναρέκ» (³). Πρόδηλον, ὅτι οὐ μόνον ὁ Σαμβάτ, ἀλλὰ καὶ ἄλλοι ἡγεμόνες καὶ πολλοὶ διδάσκαλοι καὶ αὐτὸς ὁ Ἰωάννης ἀνωμολόγουν, ὅτι ὁ ἀπὸ τῆς ἑλληνικῆς Ἐκκλησίας χωρισμὸς τῆς ἀρμενικῆς ἐκκλησίας ἦν παράνομος. Καὶ ὅμως ὁ εὐσεβὴς πόθος Βαγρατίωνος τοῦ υἱοῦ τοῦ Ἀσσὸδ οὐκ ἐπληρώθη ἐν πάσῃ ἀκριβείᾳ.

4) Γνωσταὶ τέλος αἱ κανονικαὶ διατάξεις τοῦ Πατριάρχου Νικολάου: τρεῖς π ε ρ ὶ γ ά μ ω ν μεταξὺ τῶν ἄλλων π ε ρ ὶ τ ε τ ρ α γ α-

(¹) Ἐπιστ. ρλθ΄.

(²) Histoire d' Armenie par le Patriarche Jean VI, Paris, 1841. not. p. X. XI.

(³) Ὁ λόγ. τοῦ Νερσῆ ἐν τῷ Παραρτήμ. εἰς τὰ συγγράμμ. τῶν ἁγ. Πατ. 1848. σελ. 148.

μίας, καὶ μία περὶ τοῦ τὰς πατριαρχικὰς ἐπιστολὰς ἀμισθὶ δίδοσθαι τοῖς αἰτοῦσι... ([1]).

§. 294. Συμεὼν ὁ Μεταφραστής· βίος αὐτοῦ.

Συμεὼν ὁ Μεταφραστής ([2]), Κωνσταντινουπολίτης υἱὸς εὐσεβῶν γονέων ([3]). Ἀποπερατώσας πάνυ λαμπρῶς τὴν ἑαυτοῦ παίδευσιν ἐν τῇ σχολῇ, ἔνθα διήκουσε τὰ γράμματα, τὴν ἱστορίαν, τὴν φιλοσοφίαν, καὶ τὴν θεολογίαν ([4]), εἰσήχθη εἰς τὴν αὐλήν [α]. Τῷ 904 οἱ Ἄραβες, ἡγουμένου αὐτῶν Λέοντος τοῦ Τριπολίτου [б], μάτην ἐπιδραμόντες τῇ Κωνσταντινουπόλει, ἐστράφησαν ἐπὶ τὴν Θεσσαλονίκην, ἣν καταλαβόντες ἔγνωσαν ἄρδην καταστρέψαι ([5]). Ὁ Συμεὼν κατώρθωσεν ἀπαλλάξαι τὴν πόλιν τῆς ἐπικρεμασθείσης

([1]) Ὁ Μάϊος ἐξέδωκε in Script. Vet. Auct. T. IX. καὶ ἄλλο σύγγραμμα τοῦ Πατριάρχου Νικολάου, οὗ ἡ ἐπιγραφὴ ἔχει ὧδε: «ποίημα πρὸς τὸν πρῶτον τοῦ ἁγίου ὄρους. Σ. Μ.

([2]) Τὸν βίον αὐτοῦ συνέγραψε περὶ τὸ 1050 Μιχαὴλ ὁ Ψελλός, ὃς λέγει γεγονέναι αὐτόπτης τοῦ θανάτου αὐτοῦ. Ἡ βιογραφία ἐξεδ. in Fabric. Bibl. Gr. T. VI. ed. vet. Ἐν αὐτῇ ἐτυπώθη ἐπ' ἴσης καὶ ἡ εἰς αὐτὸν ὑπὸ τοῦ αὐτοῦ Ψελλοῦ συνταχεῖσα Ἀκολουθία.

([3]) Ἐγκώμ. §. 1.

([4]) Ἐγκώμ. §. 4.

[α] «Βασιλεῦσι γάρ, λέγει ὁ Ψελλός, ἐπέραστος γεγονώς, τὰ τιμιώτατα τῶν ὅλων πιστεύεται, τὸ μὲν ἐγγὺς ἑστάναι τοῦ βήματος διὰ τὴν σύνεσιν· τὴν δὲ τῆς πολιτείας διοίκησιν, διά τε τὴν τῆς φύσεως ἐπιτηδειότητα, καὶ τὴν τῶν πραγμάτων προσλαβὼν ἐπιμέλειαν. Καὶ πρῶτα μὲν ταῖς μυστικωτέραις ἐφεστήκει τῶν πράξεων, καὶ τοῖς ἀπορρήτοις βουλεύμασι κοινωνὸς παρειστήκει τοῖς συμβουλεύουσι. Ἐπεὶ δὲ ἡ τοῦ τρόπου πίστις ἐν τούτοις τοῦτον ἐκήρυξε, μετὰ τῶν ἀδύτων καὶ τὰς κοσμικὰς φροντίδας συνείληφεν· ὡς αὐτὸν γεγενῆσθαι εἰσαγγελέα τε τῷ κρατοῦντι ἔξωθεν, καὶ ἐξαγγελέα τῶν τοῦ κρατοῦντος τοῖς ἔξωθεν. Καὶ ἦν ὡσανεὶ δεσμὸς τῆς διοικήσεως ἀκριβής» (§. 5. 6.).

[б] Λέων ὁ Ἀτιαλεύς, ἐξομοσάμενος τὴν Χριστιανῶν πίστιν, ᾤκησεν ἐν τῇ τῆς Συρίας Τριπόλει, καὶ ἐντεῦθεν ἐπωνομάσθη Τριπολίτης. Βλ. Κεδρην. ἐπίτ. ἱστορ. σελ. 1062. Σ. Μ.

([5]) Βλ. Ἰωάν. Καμινιάτ. εἰς τὴν ἅλωσιν τῆς Θεσσαλονίκης.

αὐτῇ παντελοῦς καταστροφῆς διὰ διαπραγματεύσεων (1). Παρέσχε δὲ τῇ αὐτοκρατορίᾳ καὶ ἑτέραν εὐεργεσίαν οὐχ ἧττον ἐκείνης σπουδαίαν. Ὁ στρατηγὸς Ἱμέριος ἀπεστάλη μετὰ στόλου εἰς Κρήτην κατὰ τοῦ Τριπολίτου (2). Τῶν τοῦ πολέμου κινδύνων τὸ πλεῖστον μέρος μετέσχεν ὁ Συμεών, ᾧ σύναμα ἐνετείλατο ὁ Αὐτοκράτωρ περὶ σπονδῶν πρὸς τὸν ἀρχηγὸν τῶν Ἀράβων διαπράξασθαι. Περὶ τούτου ποιεῖται λόγον αὐτὸς ὁ Συμεὼν ἐν τῷ ὑπ' αὐτοῦ συνταχθέντι βίῳ τῆς ἁγίας Θεοκτίστης, καὶ προστίθησιν, ὅτι τοῦτο ἐγένετο τῇ θελήσει «Λέοντος τοῦ εὐτυχοῦς ὄντως βασιλέως, καὶ τὴν εὐτυχίαν Ῥωμαίων τῷ τάφῳ ἀναθάψαντος» (5). Οἱ λόγοι οὗτοι δεικνῦσιν, ὅτι ὁ Συμεὼν κατεῖχεν ἐπὶ τοῦ Αὐτοκράτορος Λέοντος τὸ τοῦ διπλωμάτου ἅμα καὶ στρατηγοῦ ἀξίωμα, ἀλλ' ἔζη καὶ μετ' αὐτὸν ἐπὶ τοῦ Αὐτοκράτορος Κωνσταντίνου τοῦ Πορφυρογεννήτου (3). Ἡ παράκλησις, ἣν ἐποιήσατο αὐτῷ ὁ σεβάσμιος γέρων τοῦ Πάρου, περιγράψαι τὸν βίον τῆς ὁσίας Θεοκτίστης, ἐπετελέσθη, ὡς αὐτὸς λέγει, μετὰ τὴν τελευτὴν τοῦ Αὐτοκράτορος Λέοντος. Αὕτη δ' ἦν ἡ πρώτη τῶν ὑπ' αὐτοῦ συγγραφεισῶν πολλῶν βιογραφιῶν (4). Τοῖς ὑψηλοῖς ἀξιώμασι τοῦ

(1) Ὁ Καμενιάτης λέγει περὶ τοῦ ὅσον ἐσπούδασεν ὁ Συμεὼν σῶσαι τὴν Θεσσαλονίκην. «Καὶ τοῦ Τριπολίτου, λέγει ὁ Κεδρηνός, βουληθέντος καταστρέψαι τὴν πόλιν, ὁ Συμεὼν λαβεῖν αὐτὸν χρυσίον ἐμήνυσε καὶ τῆς καταστροφῆς ἀποσχέσθαι». Ὃ καὶ γέγονε· καὶ λαβὼν τὸ χρυσίον ὁ Τριπολίτης ὑπενόστησε». Τὸ χρυσίον ἐδόθη ὑπὸ τοῦ Συμεὼν οὐχὶ ἐκ τοῦ ταμείου τοῦ κράτους, ἀλλ' ἐξ οὗ κατέλιπεν ἀποθανὼν ὁ μετὰ τοῦ λοιποῦ πλήθους τῶν αἰχμαλώτων συλληφθεὶς εὐνοῦχος τοῦ βασιλέως καὶ τῶν ἐξόχων εἷς Ῥοδοφύλλης καλούμενος.

(2) Βλ. Κεδρην. καὶ Λ. τὸν Γραμματικόν.

(3) Ὁ βίος τῆς ἁγίας Θεοκτίστης ap. Lipomanum et Surium. §. 3. 5. 9. Βλ. Ψελ. Ἐγκώμ. §. 7. Ἀκολουθ. ᾠδ. ἑ.

(4) Ἐν τῷ β. τῆς ἁγίας Θεοκτίστης ἐπαινεῖ τὸν στρατηγὸν Ἱμέριον.

(5) Ἀκολ. ᾠδ. ϛ'. «Τὸ πρῶτόν σου σύγγραμμα ἐκ προνοίας θεϊκῆς, καὶ ὁμιλίας γέγονε τοῦ ἱεροῦ πρεσβύτου καὶ μοναστοῦ, Συμεὼν θεσπέσιε, ὃν ἐν Πάρῳ τῇ νήσῳ τεθεώρηκας». Καί: «ἀξίως ἐξύμνησας τῆς Λεσβίας τὰ λαμπρὰ καὶ θεῖα ἀγωνίσματα, Θεοκτίστης τῆς ὀν-

μεγάλου Λογοθέτου καὶ τοῦ Πατρικίου ἠμείφθη ἀντὶ τῶν μεγάλων εὐεργεσιῶν, ἃς προσήνεγκε τῇ Αὐτοκρατορίᾳ ἐν Κρήτῃ καὶ Θεσσαλονίκῃ (1)· τὸ δὲ ἀξίωμα τοῦ Μαγίστρου τῆς Αὐτοκρατορίας ἔλαβεν (2) ἀντὶ τῶν μετὰ ταῦτα ἐξόχων αὐτοῦ ὑπηρεσιῶν.

Τριάκοντα καὶ πέντε περίπου ἐτῶν ἦν, ὅτε διελέχθη πρὸς τὸν ἐν Πάρῳ Γέροντα περὶ τῆς ὁσίας Θεοκτίστης (3), καὶ ἐντεῦθεν κατέλυσε πιθανῶς τὸν βίον περὶ τὸ 940.

Τὸ αὐστηρὸν καὶ τὸ ἁγνὸν τοῦ βίου τοῦ Συμεὼν ἀπεκαλύφθη τοῖς ἄλλοις διὰ τούτου, ὅτι ἐκ τοῦ σώματος αὐτοῦ ἔρρεεν εὔοσμον μῦρον (4).

τως ἀγγελικὸν μικροῦ καὶ ἀσώματον τελεσάσης πανσόφως τὸ πολίτευμα ».

(1) Ὁ Κεδρηνὸς λέγει : « Ἀποδεξάμενος δὲ τὸν Συμεὼν τοῦ ἔργου (τοῦ ἐν Θεσσαλονίκῃ) ὁ βασιλεὺς πατρίκιον καὶ πρωτοασηκρῆτιν τοῦτον τετίμηκε ». Τὸ αὐτὸ Λέων ὁ Γραμματικός. Λογοθέτης τοῦ δρόμου καλεῖται ὁ Συμεὼν ἐν τῇ ἐπιγραφῇ τῶν ἐπιστολῶν αὐτοῦ. Ὁ Ψελλὸς ἐπ' ἴσης ἀποκαλεῖ αὐτὸν Λογοθέτην. Ἀλλ' ὁ στρατηγὸς Ἱμέριος καλεῖται παρὰ μὲν τῷ Κεδρηνῷ Πρωτοστράτωρ, παρὰ δὲ τῷ Ζωναρᾷ Λογοθέτης τοῦ δρόμου. Ἐντεῦθεν Λογοθέτης τοῦ δρόμου καὶ Πρωτοστράτωρ — ἓν καὶ τὸ αὐτό.

(2) Νικηφ. ὁ Κάλλισ. ἀποκαλεῖ τὸν Μεταφραστὴν Μάγιστρον (Ἱστορ. Ἐκκλ. ιή. 24). Τὸ ἀξίωμα τοῦ Μαγίστρου τῆς Αὐτοκρατορίας ἦν ὑψηλότατον. Χρον. Ἀλεξανδρ. ἔτ. γ'. Θεοδοσίου τοῦ Μικροῦ. Ἐντεῦθεν λέγει ὁ Ψελλὸς περὶ τοῦ Συμεών : « ἐνδιαπρέψας ἐν ἀρχαῖς ταῖς τῆς κάτω συγκλήτου, ὡς ἀνὴρ βουληφόρος . . . »

(3) Ὅτε ὁ ἐν Πάρῳ Γέρων παρεκάλει αὐτὸν συγγράψαι τὸν βίον τῆς ὁσίας Θεοκτίστης, ὁ Συμεὼν προὐβάλλετο ὡς κώλυμα « λόγων ἀπορίαν, δουλείας, γυναῖκα καὶ τέκνα, οἴκου φροντίδας » (ἐν β. Θεοκτίστης), Ἰωάννης ὁ Καμενιάτης ὧν μάρτυς τῶν σπονδῶν, ἃς ἐσπείσατο ὁ Συμεὼν τῷ Τριπολίτῃ, καλεῖ αὐτὸν ἄνδρα φρονήσει βεβηκότα καὶ διὰ πείρας ὄντα πολλῶν πραγμάτων (εἰς τὴν ἅλωσιν τῆς Θεσσαλονίκης).

(4) Ἀκολουθ. καὶ Ἐγκώμ. Ἡ μνήμη τοῦ μακαρίου Συμεὼν τῇ κή. Νοεμβρίου, ὡς δείκνυσιν ἡ ἐπιγραφὴ τῆς ὑπὸ τοῦ Ψελλοῦ συντεθείσης Ἀκολουθίας. Ὁ Λιπομάνος γράφει : « Ἰστέον, ὅτι ὁ Μεταφραστὴς ἦν ἅγιος ἀνὴρ καὶ ὑπὸ τῶν Ἑλλήνων Πατέρων τέτακται εἰς τοὺς ἁγίους, διότι τελοῦσι τῇ κή. Νοεμβρίου τὴν μνήμην αὐτοῦ » (Pro-

§. 295. Αἱ Μεταφράσεις αὐτοῦ.

Ὁ Συμεὼν ἐστι γνωστὸς ἐν τῇ Ἐκκλησίᾳ ἐκ τῶν ὑπ' αὐτοῦ πρὸς πνευματικὴν τῶν πιστῶν οἰκοδομὴν συντεθεισῶν βιογραφιῶν.

Ὁ Ἀλλάτιος ἀναθεωρήσας τὰς βιογραφίας κατὰ τὰ χειρόγραφα τοῦ Βατικανοῦ καὶ συνκρίνας τὰ ἀπόγραφα πρὸς τὴν φράσιν τοῦ Μεταφραστοῦ, λέγει, ὅτι ὁ Συμεὼν ἔγραψεν 122 βιογραφίας, ἐκ δὲ τῶν λοιπῶν, τῶν φερουσῶν τὸ ὄνομα αὐτοῦ, 444 ἐγράφησαν ὑπὸ γνωστῶν συγγραφέων καὶ 95 ὑπ' ἀγνώστων, ἀλλ' οὐχὶ ὑπ' αὐτοῦ (1). Οὐ μὴν ἀλλ' ὑποθετέον, ὅτι ἐκ τῶν 539 τούτων βιογραφιῶν πολλὰς ἐπεξειργάσατο ὁ Μεταφραστής (2).

Τὸ ἐπώνυμον Μεταφραστὴς δείκνυσι τὴν ἰδιότητα τοῦ πονήματος τοῦ Συμεών. Ἔχων μετὰ χεῖρας ὁ ἱερὸς ἀνὴρ ἀρχαίας περὶ τῶν ἁγίων διηγήσεις, ἐσπούδασε μεταφράσαι, ἤτοι διατάξαι αὐτὰς κατά τε τὴν λέξιν καὶ τὸ περιεχόμενον. Αἱ ὑπ' αὐτοῦ συνταχεῖσαι βιογραφίαι, διαπρέπουσιν ἐπὶ γλαφυρᾷ φράσει. Ἐντεῦθεν κατὰ παράθεσιν πρὸς τὰς πρὸ αὐτοῦ γραφείσας ἐφάνησαν πάντη ὑπὸ νέαν μορφὴν καὶ ὀρθῶς αὗται μὲν ἐκλήθησαν Μεταφράσεις, ὁ δὲ συγγραφεὺς αὐτῶν ἐπωνομάσθη Μεταφραστής.

Μιχαὴλ ὁ Ψελλός, οὐ πολὺ μετὰ τὸν Συμεὼν ἀκμάσας, καὶ ἐντεῦθεν δυνάμενος ἰδεῖν καὶ συνκρίναι τὰς βιογραφίας, ἃς ἐπ-

---

leg. ad vit. Sanctor.). Ὁ Βαλσαμὼν λέγει εἰς τὸν ξγ'. Καν. τῆς ἐν Τρούλῳ Συνόδου: « Χάρις τοίνυν τῷ μακαρίῳ Μεταφραστῇ τῷ τὰ μαρτυρικὰ ὑπὲρ τῆς ἀληθείας σκάμματα πολλοῖς πόνοις καὶ ἱδρῶσι καταχαλλύναντι εἰς ὕμνον Θεοῦ καὶ δόξαν αἰωνίζουσαν τῶν ἁγίων Μαρτύρων ». Ὁ Γλυκᾶς ἐν τῇ κά. ἐπιστολῇ πρὸς Ἡσαΐαν μοναχόν: «Καὶ ταῦτα τὸν ἐν ἁγίοις Συμεὼν ὅρα τὸν Μεταφραστὴν τὸ δόγμα τοῦτο συνιστῶντα πρὸ τῶν ἄλλων εὑρίσκοντες· ἐν γὰρ τῷ βίῳ τῆς Μεγαλομάρτυρος Ἀναστασίας καὶ τάδε φησίν ».

(1) Diatriba de Symeonibus, p. 80. 119. 184. Ὁ Ψελλὸς λέγει περὶ αὐτοῦ: « Τὸ μὲν χρῶμα τοῦ λόγου τὸ αὐτὸ πάσαις, καὶ ἡ ποιότης μία τῆς φράσεως ».

(2) Αἱ τὸ ὄνομα τοῦ Μεταφραστοῦ φέρουσαι γνωσταὶ βιογραφίαι ἐξεδόθησαν (ἀλλ' οὐχὶ ἅπασαι) λατινιστὶ μόνον ὑπὸ τοῦ Λιπομάνου, T. I—VI. Romæ, 1551—1560.

εξειργάσατο ὁ ἱερὸς ἀνήρ, πρὸς τὰς ὑπ᾽ αὐτοῦ συνταχθείσας, γράφει: « Οἱ πρὸ τοῦ θαυμασίου τούτου ἀνδρὸς ἐνταῦθα τὰς ἐκείνων (τῶν ἁγίων) πράξεις ἀναγραψάμενοι, οὐμενοῦν τῆς μεγαλοπρεπείας ἐκείνων ἀφίκοντο· ἀλλὰ τὰ μὲν αὐτῶν καταψεύσαντο, τὰ δὲ μὴ δυνηθέντες κατάλληλα θεῖναι, ἄκομψον ἐκείνοις τὸ ἀγαθόν, καὶ ἀφιλότιμον συγγεγράφασιν, οὔτε καλὴν ὑποθέμενοι ἔννοιαν, οὔτε μὴν εὐπρεπέσι κατακοσμήσαντες λέξεσιν, οὐδ᾽ ἀκριβῶς ὑπογράψαντες, οὔτε τὴν τῶν κολασάντων βαρύτητα, οὔτε τῆς τῶν μαρτύρων πρὸς τὰς ἀποκρίσεις πυκνότητα. Ἀλλὰ καὶ τοῖς ἀσκηταῖς τὴν ἄσκησιν ἐκιβδήλωσαν, ἀφελῶς αὐτοῖς, καὶ ὥσπερ ἐκ τοῦ παρατυχόντος τὰ ἐσπουδασμένα διεξιόντες. Ἔνθεν τοι οἱ μὲν οὐδὲ ψιλὴν ἐκαρτέρουν τὴν τῶν ὑπομνηματισθέντων ἀνάγνωσιν, τοῖς δὲ καὶ γέλωτος ἀφορμὴ τὰ λεγόμενα ἐγνωρίζετο· καὶ τὸ τῆς συνθήκης δὲ ἀκαλλές, καὶ τὸ ἀνακόλουθον τῆς ἐννοίας, καὶ τὸ τῆς λέξεως εὐτελές, ἀγλευκῆ τοῖς ἀκούουσιν ἦν, καὶ ἀπηχθάνοντο μᾶλλον, ἢ προσίεντο, καὶ τὸ ἐπὶ τοῖς ἀναγραψαμένοις διεκωμῳδεῖτο ἡμῖν τὰ θαυμάσια τῶν τοῦ Χριστοῦ θεραπόντων ἀγωνίσματά τε καὶ τρόπαια ».

Ἡ ἀπόφανσις αὕτη τοῦ Ψελλοῦ περὶ τῆς καταστάσεως τῶν ἀρχαίων βιογραφιῶν βεβαιοῦται τέλεον ὑπὸ τῶν ἰδόντων τὰ μέχρι τοῦ νῦν διασωθέντα ἀπόγραφα αὐτῶν, καὶ παραβαλόντων πρὸς αὐτὰ τὰς τοῦ Μεταφραστοῦ. Ὁ διαπρεπέστατος ἑλληνιστὴς καὶ κριτικὸς Μοντφωκόνιός ἐστιν ἀναμφηρίστως ἄξιος πίστεως ἐν ταύτῃ τῇ περιστάσει, ἰδίως δὲ ὅσον ἀφορᾷ εἰς ἀνθρώπους, οἷος ὁ Βελλαρμῖνος. Περιγράφων ἓν ἀρχαῖον χειρόγραφον περιέχον βιογραφίας ἁγίων, συγγραφείσας πρὸ τοῦ Μεταφραστοῦ, λέγει περὶ αὐτῶν: « . . . λύρων καὶ μύθων τερατωδῶν γέμουσιν. Ὁ δὲ Συμεὼν τὰς αὐτὰς βιογραφίας διέταξε πάνυ καλῶς. Πολλὰ θαύματα, ἅτινα ἔπλασαν οἱ φιλοψευδεῖς, σποράδην ἐπέτεμεν . . . Τοῦτο λέγω μετὰ τὸ παραβαλεῖν οὐχ ἅπαξ τὰ κατὰ τὸν θ΄ αἰῶνα γραφέντα χειρόγραφα πρὸς τὰς μετὰ ταῦτα ὑπὸ τοῦ Μεταφραστοῦ συντεθείσας βιογραφίας ». Ἐν ἄλλῃ δὲ περιστάσει ἐπαναλαμβάνων τὴν αὐτὴν ἀπόφανσιν περὶ τῶν ἀρχαίων βιογραφιῶν, προστίθησιν, ὅτι τούτου ἐξαιρετέον τὰς

ὑπὸ τῶν συγχρόνων τοῖς ἁγίοις συνταχθείσας βιογραφίας (¹).

Μέμφονται τῷ Μεταφραστῇ, ὡς πολλάκις τιθέντι ἐν τοῖς στόμασι τῶν Ὁμολογητῶν καὶ Ἀσκητῶν λόγους, οὓς ἐκεῖνοι κατὰ τὸ εἰκὸς οὐκ εἶπον. Ἀλλὰ α) πόθεν δύναταί τις γινώσκειν, ὅτι τοιούτους λόγους οὐκ εἶπόν τινες τῶν μὴ συσταλέντων εἰπεῖν τὴν ἀλήθειαν ἐνώπιον ἡγεμόνων καὶ βασιλέων; β) ὑποθῶμεν, ὅτι ὁ Μεταφραστὴς διαγράφει ἔσθ' ὅτε μόνον τὴν κατάστασιν ἁγίας ψυχῆς, ἀλλ' ἐὰν οὗτος ἀληθῶς ἐνόησε καὶ παρέστησε τὴν κατάστασιν τῆς ψυχῆς, τότε ἡ ἀπὸ τῆς ἱστορικῆς ἀκριβείας ἀπομάκρυνσις οὐκ ἔστι βεβαίως σπουδαία, ὅταν χρῆται ἰδίοις οὐχὶ δὲ ἀλλοτρίοις λόγοις.

Ὁ Ψελλὸς καὶ Νικηφόρος ὁ Γλυκᾶς (²) γράφουσιν, ὅτι ὁ Συμεὼν ἠσχολήθη περὶ τὴν συγγραφὴν τῶν βιογραφιῶν τῶν ἁγίων κατ' ἐντολὴν τοῦ Αὐτοκράτορος. Ἐντεῦθεν περιττὴ ἦν ἂν ἡ ἐρώτησις: εἶχεν ἆρά γε ὁ Μεταφραστὴς πηγάς, αἷς ἠδύνατο πρὸς τοῦτο χρήσασθαι; Ἡ παραβολὴ τῶν Μεταφράσεων αὐτοῦ πρὸς τὰς ἀρχαίας βιογραφίας δείκνυσιν ἐπ' ἴσης, ὅτι εἶχεν ὑπ' ὄψει τὰς πηγὰς καὶ συνέκρινεν αὐτάς. Εἰ νῦν οὐχ εὑρίσκονται παρὰ τοῖς ἀρχαίοις περιστατικά τινα, περὶ ὧν ποιεῖται λόγον ὁ Μεταφραστής, οὐ διϊσχυριστέον ἐκ τούτου, ὅτι ἐστερεῖτο πηγῶν.

Ἄλλο ζήτημα· ἐπωφελήθη ἆρά γε ὁ Μεταφραστὴς τοιούτων μνημείων, ἅτινα ἦσαν κατὰ πάντα ἀξιόπιστα; τοῦτο βεβαίως οὐ δυνάμεθα βεβαιῶσαι. Ἐντεῦθεν εἰ καὶ αἱ Μεταφράσεις τοῦ Συμεὼν οὐκ εἰσὶ κατὰ πάντα τέλειαι, ὅμως εἰσὶ πολλῷ κρείττονες καὶ δὴ καὶ τῶν χρυσῶν Συναξαρίων τοῦ Γενουησίου Ἰακώβου De-Voragine, ἅτινά εἰσι πλήρη μύθων καὶ σφαλμάτων, καίπερ γραφέντα τρεῖς αἰῶνας μετὰ τὰς Μεταφράσεις.

Ὁ μακάριος Συμεὼν ἔγραψεν ἔτι Λόγους (³) εὐ-

(¹) Palaiograph. Gr. Lib. IV. c. I. p. 269. c. II. p. 273.

(²) Β. τῆς ἁγ. Θεοφαν. συζύγου τοῦ Αὐτοκρ. Λέοντος ap. Allatium de Milis, p. 31. 32. in V. tom. Bibl. Gr. Fabricii.

(³) α] Λόγος εἰς τὸν θρῆνον τῆς Ὑπεραγίας Θεοτόκου, ὅτε περιεπλάκη τὸ τίμιον Σῶμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. β] Περὶ τῆς ζωηφόρου τελευτῆς καὶ με-

χὰς (¹) καὶ ὕμνους (²), γνωμικὰ Κεφάλαια (³). Συνέταξε τέλος α) Ἠθικοὺς λόγους κδ΄ ἐκ πασῶν τῶν πραγματειῶν τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Βασιλείου Ἀρχιεπισκόπου Καισαρείας τῆς Καππαδοκίας (⁴)· β) Ἐκλογὰς ἐκ τῶν συγγραμμάτων Μακαρίου τοῦ Μεγάλου (⁵).

§. 296. Οἰκουμένιος.

Οἰκουμένιος, ἐπίσκοπος τῆς ἐν Θεσσαλίᾳ Τρίκκης, μέχρι τοῦ νῦν διάσημος ἕνεκα τῶν πόνων τῆς εὐσεβοῦς σοφίας, οἷς κατέστη ἄξιος σεβασμοῦ ἐν τῇ Ἐκκλησίᾳ. Ἐν χειρογράφῳ γραφέντι τῷ 975 διεσώθη μεταξὺ τῶν ἄλλων: « Ἐκ τῶν Οἰκουμενίῳ τῷ μακαρίῳ ἐπισκόπῳ Τρίκκης Θεσσαλίας θεοφιλῶς πεπονημένων εἰς τὴν Ἀποκάλυψιν Ἰωάννου τοῦ Θεολόγου σύνοψις σχολικὴ μετὰ

ταστάσεως τῆς Θεοτόκου. γ] Λόγος διαλαμβάνων τὰ ἀπὸ τῆς σεβασμίας Γεννήσεως καὶ ἀνατροφῆς τῆς Ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου, τῆς θεοπρεποῦς τε Γεννήσεως Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, καὶ ὅσα μέχρι τῆς ζωηφόρου αὐτῆς συνέδραμε τελευτῆς, προσέτι καὶ περὶ τῆς φανερώσεως τῆς τιμίας αὐτῆς ἐσθῆτος, καὶ ὅπως ὁ μέγας οὗτος θησαυρὸς χριστιανοῖς τεθησαύρισται. γ] Λόγος εἰς τὸ Μέγα Σάββατον.

(¹) Γνωσταί, αἱ εὐχαὶ πρὸ τῆς Μεταλήψεως καὶ μετ' αὐτὴν (Ὡρολ. Μέγ.)· ἄλλαι αὐτοῦ εὐχαὶ ἐν χειρογρ. τῆς Βιέννης (Ondin. comm. II. 1338).

(²) Κανὼν παρακλητικὸς εἰς τὴν Ὑπεραγίαν Θεοτόκον ψαλλόμενος τῇ Μεγάλῃ Παρασκευῇ· κανὼν εἰς τὴν ὁσίαν Μαρίαν τὴν Αἰγυπτίαν τῇ ά Ἀπριλίου· ὕμνοι διὰ στίχων — ἐν χειρογρ. τῆς Βιέννης (Lambec. comm. III. 149. V. 44). Ἔνιοι αὐτῶν ἐξεδόθ. ὑπὸ Ἀλλατίου (De Symeodibus p. 123).

(³) Ἅπαντα Κεφάλ. ρλά. (Allat. ibid. p. 132).

(⁴) Ἐξεδόθησαν μετὰ τῶν συγγραμμάτων Βασιλείου τοῦ Μεγάλου.

(⁵) Δύο ἐκλογαί, ὧν ἡ μὲν σύγκειται ἐξ ρν΄ κεφ., ἡ δὲ ἐκ μέ. Οὐ δεῖ συγχέειν Συμεῶνα τὸν Μεταφραστὴν καὶ Λογοθέτην πρὸς τὸν Συμεῶνα Λογοθέτην τῶν νέων, ὃς ἐπὶ Ἀλεξίου τοῦ Κομνηνοῦ (τῷ

τῆς δεούσης ὅσον κατὰ σύνοψιν ἀνελλιποῦς αὐταρκείας» ([1]) Ἐκ τοῦ χειρογράφου τούτου καθίσταται πρόδηλον, ὅτι ὁ μακάριος Οἰκουμένιος ἤκμασεν οὐκ ὀψιαίτερον τοῦ ἡμίσεως τοῦ δεκάτου αἰῶνος. Ἐπειδὴ δὲ ἐν τῇ ἑρμηνείᾳ αὐτοῦ εἰς τὴν πρὸς Κορινθίους Ἐπιστολὴν ἀπαντῶσιν ἐξηγήσεις τοῦ Π. Φωτίου ([2]), ἀδύνατον ὑποθεῖναι, ὅτι ἔζησε πρὸ τοῦ τέλους τοῦ ἐνάτου αἰῶνος. Ἐντεῦθεν τὴν τελευτὴν αὐτοῦ θετέον περὶ τὸ 945ον ἔτ. Συνέγραψεν ἑρμηνείας εἰς τὰς Πράξεις τῶν Ἀποστόλων, καὶ τὰς τοῦ Παύλου, καὶ τὰς Καθολικὰς Ἐπιστολάς ([3]).

Ὁ χαρακτὴρ τῆς ἑρμηνείας αὐτοῦ ὁρᾶται ἐν μέρει καὶ ἐκ τῆς ἐπιγραφῆς τοῦ πόνου αὐτοῦ. Ἡ ἐπιγραφὴ ἔχει ὧδε: Τῶν εἰς τὴν πρὸς Γαλάτας Ἐπιστολὴν Παύλου τοῦ Ἀποστόλου ἐξηγητικῶν Ἐκλογῶν τόμος Α΄ ([4]). Κατὰ τὴν ἐπιγραφὴν ταύτην, ὁ διὰ τὴν ἑρμηνείαν τῆς ἁγίας Γραφῆς πόνος αὐτοῦ συνίστατο κυρίως ἐν τῇ ἐκλογῇ ἐκ τῶν πρὸ αὐτοῦ γενομένων ἑρμηνειῶν. Τὸ αὐτὸ ἐποίουν οἱ πρὸ αὐτοῦ καὶ οἱ μετ' αὐτόν. Ἡ ἀξία τοῦ πόνου συνίστατο πρῶτον μὲν ἐν τῇ ἐκλογῇ τῶν συγγραφέων, δεύτερον δὲ ἐν τῷ εἰδέναι ἀπανθίζειν τὸ ἀναγκαῖον ἐκ τῶν μακρῶν ὁμιλιῶν τῶν μεγάλων τῆς Ἐκκλησίας Πατέρων εἰς τὰ βιβλία τῆς Π. καὶ Κ. Διαθήκης. Ὁ Οἰκουμένιος παρηκολούθησεν ἐν τῷ πόνῳ αὐτοῦ τὰ πλεῖστα τῷ θείῳ Χρυσοστόμῳ καὶ ἄλλοις ἐξόχοις ἀρχαί-

---

1160) ἔγραψεν Ἐπιτομὴν Κανόνων (Fabric. Bibl. Gr. V. 509—510). Πιθανόν, ὅτι αἱ ὑπὸ τοῦ Ἀλλατίου ἐκδοθεῖσαι θ΄ Ἐπιστολαὶ ἐγράφησαν ὑπὸ τοῦ αὐτοῦ.

([1]) Montfaucon. Bibl. Coislin. cod. 224, p. 277. Ἡ Σύνοψις ἐτυπώθη καὶ ὑπὸ τοῦ Κρεμάρου: Catena in Epist. Cathol. et Apocalypsin, Oxon. 1840. p. 173. s.—

([2]) Crameri Caten. in Epist. Corinthios in fine: Auctor. nomina, Oxon. 1841. Πρβλ. Catal. cod. S. Marci, Venet. p. 25.

([3]) Ἐκδόσεις: B. Oecumenii in Act., Epist. Cathol. et Ep. S. Pauli, gr. lat. ed. *Morellus*, Paris. 1631 in 2 vol.—*Crameri* Catena in Ep. ad Corinthios, Oxon. 1841. in Ep. Cothol. et Oecumen. ac Arethae comm. in Apocal. Oxonit, 1841.

([4]) Crameri Catena in Ep. ad

οις ἑρμηνευταῖς· ἐνιαχοῦ δὲ καὶ τὰ καθ' ἑαυτὸν συνεισήνεγκε (1).

Σῆξτος ὁ ἐκ Σιέννης λέγει, ὅτι ὁ Οἰκουμένιος ἔγραψεν Ἐκλογὴν ἑρμηνειῶν εἰς τὴν Ὀκτάτευχον (2). Ἀλλ' ἡ Ἐκλογὴ αὕτη οὐκ ἔστι νῦν γνωστή. Ἀμφίβολον δέ, εἰ ἀνήκει εἰς αὐτὸν καὶ ἡ ὑπὸ τὸ ὄνομα αὐτοῦ ἐκδοθεῖσα Σειρὰ τῶν ἑρμηνειῶν εἰς τὰς Πράξεις τῶν Ἀποστόλων καὶ εἰς τὰς Καθολικὰς Ἐπιστολάς (3), τὸ μέν, διότι οὐχ ὁρᾶται, ὅτι ἀναφέρουσί που ἑρμηνείας τοῦ Οἰκουμενίου εἰς ταῦτα τὰ βιβλία τῆς Ἁγίας Γραφῆς (4), τὸ δέ, διότι ὁ ἐκλογεὺς περιορίζεται μόνον εἰς συλλογὴν ἀρχαίων ἑρμηνειῶν, καὶ οὐ προτίθησιν ἰδίας παρατηρήσεις, ἐν ᾧ ἐν τῷ συγγράμματι τοῦ Οἰκουμενίου ὁρῶμεν τὸ ἐναντίον.

Ἡ Σύνοψις εἰς τὴν Ἀποκάλυψίν ἐστιν ἀναμφηρίστως πόνημα τοῦ μακαρίου Οἰκουμενίου. Ἐστὶ δ' ἔργον ἐξαίρετον εὐσεβοῦς τε καὶ ὀρθῆς διανοίας.

§. 297. Ὁ ὅσιος Νίκων.

Νίκων — ὁ κῆρυξ τῆς μετανοίας. Εὐγενὴς ἀπόγονος οἴκου ἐξ Ἀρμενίας, ἐν τῇ νεότητι ἔτι ἀπεχώρησε παρὰ τὴν θέλησιν τῶν γονέων αὐτοῦ εἰς τὸ ἐν Πόντῳ Μοναστήριον — χρυσῆν Πέτραν, ἔνθα ἐπὶ δώδεκα ἔτη διήθλησε τοὺς τῆς ἀσκήσεως ἄθλους. Ἡ πρὸς τὸν Κύριον διάπυρος αὐτοῦ ἀγάπη καὶ ἡ βαθεῖα κατάνυξις ἐδίδοσαν τῷ λόγῳ αὐτοῦ μεγίστην δύναμιν. Ὁ ἡγούμενος τῆς Μονῆς καὶ ἔμπειροι γέροντες ὁρῶντες τὸ ἐν αὐτῷ ἔξοχον τοῦ λόγου χάρισμα, παρεκάλεσαν αὐτὸν ἀναδέξασθαι τὸ τῆς μετανοίας κήρυγμα, καὶ ἀπέστειλαν αὐτὸν εἰς Ἀρμενίαν ἐπιστρέψοντα εἰς τὴν ὀρθὴν πίστιν τοὺς ἐκεῖ ὑπὸ τῆς πλάνης κατεχομένους. Ἡ Κρήτη ἀπεδόθη τῷ 961 τῇ Αὐτοκρατορίᾳ. Ἐπειδὴ δὲ πολλοὶ τῶν ἐκεῖ χριστιανῶν ἀπετάξαντο τῇ χριστιανικῇ πίστει, ὑπὸ τῶν ἀσεβῶν καταπιεζό-

---

galat. p. I. Oxonii.

(1) Οὐ σπανίως λέγει: ἔνι δὲ καὶ οὕτω νοῆσαι.

(2) Bibliocth. Sancta, Francf, 1575.

(3) Τὸ μὲν πρῶτον ἐξεδόθη ἐν Οὐηρῶνι τῷ 1532, ἔπειτα δὲ ὑπὸ Μορέλλου. Βλ. σελ. 502 σημ. 3.

(4) Πρβλ. Crameri Caten. in Act. Apostol. Oxonii, Præfat. p. 1.

μενοι, καὶ τὰ ἤθη διεφθάρησαν, ἔγνω μεταβῆναι ἐκεῖσε κηρύξων τὸν λόγον τοῦ Θεοῦ. Εἴκοσι περίπου ἔτη διέτριψεν ἐν τῇ νήσῳ ταύτῃ ὁ θεῖος ἀνὴρ οὐ παυόμενος ἐπαναλαμβάνειν τὸ τοῦ Προδρόμου κήρυγμα «Μετανοεῖτε» καὶ ἀναπτύσσειν τὰς τοῦ Εὐαγγελίου ὑψίστας ἀληθείας. Αὐτοὶ οἱ Μωαμεθανοὶ ἠκροῶντο αὐτοῦ μετὰ κατανύξεως. Μεταβὰς δ' ἐκεῖθεν εἰς Κύπρον, ἀποκατέστησε μεταξὺ τῶν ἐκεῖ χριστιανῶν τὸν αὐστηρὸν βίον τῶν πρώτων χρόνων τοῦ χριστιανισμοῦ. Καὶ ἐν Ἠπείρῳ καὶ ἐν Πελοποννήσῳ ἐκήρυξε μετ' ἐνθέου ζήλου τὸν λόγον τοῦ Θεοῦ. Κατέλυσε δὲ τὸν βίον ἐν Λακεδαίμονι τῷ 998ῳ σωτηρίῳ ἔτει (1).

Συγγράμματα αὐτοῦ: α] περὶ τῆς ἀσεβοῦς τῶν Ἀρμενίων θρησκείας καὶ Ἀπόταξις τῶν αἱρετικῶν Ἀρμενίων (2)· β] ἐπιστολὴ πρὸς ἕνα ἐρημίτην περὶ παρανόμου καθαιρέσεως (3).

§. 298. Συμεὼν ὁ νέος Θεολόγος.

Συμεὼν ὁ νέος Θεολόγος (4), ἐπαιδεύθη ἐν τῇ αὐτοκρατορικῇ αὐλῇ. Στερηθεὶς δ' ἐν τῇ πρώτῃ ἡλικίᾳ τοῦ προστάτου αὐτοῦ θείου, Γερουσιαστοῦ ὄντος, ἀπεχώρησεν εἰς τὴν Μονὴν τοῦ Στουδίου, ἔνθα ἐμαθήτευσε Συμεῶνι, τῷ ἐπικαλουμένῳ Εὐλαβεῖ (5).

(1) Τὸν βίον τοῦ ὁσίου Νίκωνος, τῷ 1150 γραφέντα ἐν ἐκτάσει ὑπό τινος Λακεδαιμονίου Ἀββᾶ, ἐξέδωκεν ὁ Μάρτεν in amplissima Collect. Scriptor. T. VI. p. 838. s. Ἡ μνήμη αὐτοῦ τῇ κς' Νοεμβρίου.

(2) Τὸ πρῶτον ἐξεδόθη in tomo Bibl. Patr. Lugduni. ap. Coteler. in not. ad II libr. Constit. Apost. c. 24. Τὸ δεύτερον a Coteleriο ad V libr. Constit. c. 13.

(3) Ἐξεδόθη λατιν. XXV tom. Bibl. Patr. Lugduni.—

(4) Τὸν βίον αὐτοῦ περιέγραψεν ὁ μαθητὴς αὐτοῦ Νικήτας ὁ Στηθάτος.

(5) Περὶ τοῦ Διδασκάλου τούτου, ἐν μέρει δὲ καὶ περὶ ἑαυτοῦ ποιεῖται διὰ μακρῶν λόγον ἐν τῷ περὶ ἐργασίας πνευματικῆς λόγῳ αὐτοῦ, καὶ διὰ βραχέων ἐν τῷ περὶ μετανοίας καὶ κατανύξεως. Ἐν τῷ πρώτῳ τῶν λόγων τούτων λέγει, ὅτι ὁ διδάσκαλος αὐτοῦ ἔγραψε βίβλον πλήρη πνευματικῆς ὠφελείας.

Ἐνταῦθα ἐχρῆτο τροφῇ λαχάνοις καὶ ὀσπρίοις καὶ τροφῇ ζωοποιῷ τῷ σώματι καὶ τῷ αἵματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ἀσκήσει δὲ τῇ νοερᾷ προσευχῇ. Ὁ ἡγούμενος ἀπηγόρευσε τῷ νέῳ μοναχῷ οὕτως αὐστηρὸν διάγειν βίον· μὴ βουληθέντα δὲ πειθαρχῆσαι ἐξέβαλε τῆς Μονῆς. Κατὰ συμβουλὴν δὲ τοῦ αὐτοῦ γέροντος μετέβη εἰς τὴν πρὸς τῷ Ξυλοκέρκῳ Μονὴν τοῦ ἁγίου Μάμαντος, ἔνθα, τελευτήσαντος τοῦ Ἀρχιμανδρίτου, ἐξελέγη ἡγούμενος καὶ ἐχειροτονήθη πρεσβύτερος ὑπὸ τοῦ Πατριάρχου Νικολάου τοῦ Χρυσοβέργη, ὅτε φῶς τοῦ Ἁγίου Πνεύματος κατῆλθεν ὁρατῶς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ (1). Ἡ μονὴ τοῦ Μάμαντος ἀνεζωπυρήθη ὑπὸ τὴν κυβέρνησιν αὐτοῦ· ὁ ἀριθμὸς τῶν μοναχῶν ἐπολλαπλασιάσθη· ὁ ἱερὸς ἀνὴρ πάνυ συχνῶς ἐδίδασκεν αὐτούς. Μέρος αὐτῶν τὸν ἀριθμὸν τριάκοντα, ἡγούμενον βαρείας τὰς διδασκαλίας τοῦ ὁσίου, ἠγέρθη κατ' αὐτοῦ. Ὁ Πατριάρχης, μαθὼν τὰς κατὰ τοῦ θείου ἀνδρὸς μομφὰς τῶν μοναχῶν τούτων, ἐπέτρεψεν αὐτοῖς, κατὰ παράκλησιν αὐτοῦ, διατρίβειν ἐν Κωνσταντινουπόλει, οὐχὶ δ' ἐν τῇ Μονῇ τοῦ Μάμαντος. Μετὰ παρέλευσιν δ' οὐ πολλοῦ χρόνου συνήγαγε πάλιν εἰς αὐτὴν τὰ διεσπαρμένα τέκνα ὁ ἀνεξίκακος πατήρ. Ἡ ὑπ' αὐτοῦ γενομένη διάταξις τοῦ τελεῖσθαι ἑορτὴν εἰς μνήμην τοῦ κεκοιμημένου διδασκάλου Συμεὼν τοῦ Εὐλαβοῦς ἐγένετο αὐτῷ παραίτιος πολλῶν καὶ μεγάλων θλίψεων (2). Ἡ ἑορτὴ αὕτη ἐτελεῖτο ἐπὶ 16 ἔτη ἄνευ κωλυμάτων. Ὁ Πατριάρχης Σέργιος, μαθὼν τὴν διάταξιν ταύτην, ἐνέκρινεν αὐτήν· ἀλλ' ὁ Μητροπολίτης Νικομηδείας Στέφανος ἐδήλωσεν, ὅτι οὐ δεῖ τελεῖσθαι τὴν ἑορτὴν ταύτην (3). Τὰς διατριβὰς ποιουμένῳ αὐτῷ ἐν Κωνσταντινουπόλει

(1) Ὁ Στηθάτος λέγει, ὅτι τοῦτο τὸ φῶς κατήρχετο καὶ κατόπιν, τοῦ Συμεὼν τελοῦντος τὴν θείαν Λειτουργίαν, καὶ προστίθησιν: « ἔλεγε δὲ τοῦτο ὡς περί τινος ἄλλου, ἑαυτὸν ὑποκρύβων, καὶ τὴν τῶν ἀνθρώπων δόξαν ἐκφεύγων ».

(2) Ὁ Νικήτας λέγει, ὅτι ὁ Συμεὼν εἰς τιμὴν τοῦ διδασκάλου αὐτοῦ ἔγραψεν ὕμνους, ἐγκώμιον, βιογραφίαν, καὶ τὴν μνήμην αὐτοῦ ἑώρταζε κατ' ἔτος.—

(3) Περὶ τούτου ποιεῖται λόγον ἐν τῷ συγγράμματι αὐτοῦ *περὶ θείας ἀγάπης* κεφ. 23.—

ἕνεκα ταύτης τῆς ὑποθέσεως προὔτειναν τὸ ἀξίωμα τοῦ Μητροπολίτου, ἀλλ' οὐχ ἐδέξατο αὐτό. Ἐν τῇ Μονῇ αὐτοῦ ἤρξατο ἐκτιθέναι μετὰ πολλῷ μείζονος ζήλου τὰς διδασκαλίας αὐτοῦ. Ἅπαντα τὸν λοιπὸν χρόνον ἐπί τε τοῦ Πατριάρχου Σεργίου († 1019) καὶ ἐπὶ τῶν διαδόχων αὐτοῦ Εὐσταθίου († 1025) καὶ Ἀλεξίου διῆλθεν ἐν εἰρήνῃ. Ἐξεδήμησε δὲ πρὸς Κύριον τῷ 1032ῳ σωτηρίῳ ἔτει (¹).

§. 299. ϐ') Ἐν τοῖς συγγράμμασι.

Ὁ ὅσιος Συμεὼν συνέταξε περὶ τοῦ πνευματικοῦ βίου πάνυ πολλὰ συγγράμματα, ὧν νῦν γνωστά εἰσι τάδε: α'] περὶ προσευχῆς ἐν στίχοις· ϐ'] περὶ τῶν τριῶν τρόπων τῆς προσευχῆς· γ'] Ἀσκητικαὶ παραινέσεις κϐ'. δ'] Κεφάλαια πρακτικὰ καὶ θεολογικὰ ρνέ. ἐ] Κεφάλαια γνωστικὰ καὶ περὶ θεολογίας κέ. ς'] Κεφάλαια θεολογικὰ καὶ πρακτικὰ ρϐ' (²). ζ'] Κεφάλαια πρακτικὰ ρξ' (³). ή] βίϐλος ὕμνων περὶ ἀγάπης καὶ περὶ τοῦ οἵας δεῖ εἶναι τὸν βίον καὶ τὰς πράξεις τῶν πνευμα-

(¹) Ἐν τοῖς Μηνολογίοις οὐχ ὁρᾶται τὸ ὄνομα αὐτοῦ μεταξὺ τῶν ἁγίων· ἀλλὰ περὶ αὐτοῦ ἀπεφαίνοντο μετ' ἐπαίνων πάνυ πολλοί, ἐν οἷς καὶ Συμεὼν ὁ Θεσσαλονίκης. Ὁ μαθητὴς αὐτοῦ Νικήτας ὁ Στηθάτος ἔγραψεν εἰς αὐτὸν κανόνα (Allat. de libr. eccles. p. 82. de Syn. Photian. p. 539).

(²) Ἅπασαι αὗται αἱ ἓξ πραγματεῖαι καὶ ἐν ταύτῃ τῇ τάξει εὑρίσκονται ἐν τῷ βιεν. χειρογρ. Cod. Theol. 227 Lambac. comment. Vindob. V. 115 (89). Ἡ ἀρχὴ τῆς πρώτης ἔχει ὧδε: « ὅστις βούλεται τὸ φῶς ἐκεῖνο βλέψαι, ὀφείλει ταῦτα φυλάσσειν ἐν καρδίᾳ »· τῆς δευτέρας: « τρεῖς εἰσιν οἱ τρόποι τῆς προσοχῆς καὶ προσευχῆς »· τῆς τρίτης: « Ἄδειαν εὗρεν ὁ διάϐολος »· τῆς τετάρτης: « Θεὸς τοῖς μὲν σωματικῶς ὁρῶσιν οὐδαμοῦ ἐστι, τοῖς δὲ πνευματικῶς νοοῦσι πανταχοῦ ἐστι »· τῆς πέμπτης: « οὔτε τῷ θεολογοῦντι ἁρμόζει μετάνοια, οὔτε τῷ μετανοοῦντι Θεολογία »· τῆς ἕκτης: « Ἀπαρχὴ Χριστός, μεσίτης καὶ τελειωτής ». Αἱ πραγματεῖαι αὗται, ἐξαιρουμένης τῆς τρίτης, εὑρίσκονται ἐν τῇ συνοδ. Βιϐλιοθ. τῆς Μόσχας, cod. 322. f. 15—56. cod. 246. f. 220—250. Ἐν τῇ παρισιαν. Βιϐλ. cod. 873. 1302. 1372. 1610.

(³) Εὑρίσκονται ἐν τῷ κοϊσλιν. χειρογρ. cod. 292. Montfaucon.

τικῶν ἀνθρώπων ἐν στίχοις ἰαμβικοῖς καὶ ἀνακρεοντείοις (1)· θ´] θησαυροὶ ἢ λέ Κατηχήσεις (2). ί] κέ λόγοι πρὸς μοναχούς (3). ιά] λϐ´ ὁμιλίαι περὶ πίστεως καὶ ἠθικῆς πρὸς κοσμικοὺς καὶ μοναχούς (4).

Ὁ βιογράφος καὶ μαθητὴς τοῦ Συμεὼν Νικήτας ὁ Στηθάτος λέγει περὶ αὐτοῦ: «οὐκ εἶχεν αὐτὸς ἑαυτόν, ἀλλ᾽ ἡ τοῦ Θεοῦ χάρις ὅλον αὐτὸν πρὸς ἑαυτὴν ἐπισπάσασα, τὴν μὲν γλῶσσαν αὐτοῦ κάλαμον ὀξυγράφου, τὴν δὲ διάνοιαν πηγὴν σοφίας Θεοῦ ἀπειργάσατο. Διὰ τοῦτο καὶ ἀμαθὴς ὢν πάντη τῶν θύραθεν μαθημάτων, ὡς ὁ ἠγαπημένος (Ἰωάννης δηλ.) ἐθεολόγει καὶ τὰ τῆς θεολογίας ὅλαις νυξὶν ἀνετάττετο». Ὅπως, ἐπὶ τῶν λόγων τοῦ μαθητοῦ ἐρειδόμενοι λάϐωμεν ἔννοιαν τοῦ διδασκάλου, ῥητέον, ὅτι αὐτὸς ὁ βιογράφος ἐποιήσατο λόγον περί τε τῆς ἀνατροφῆς καὶ ὑπηρεσίας αὐτοῦ ἐν τῇ αὐλῇ, διὸ ἀδύνατον ὑποθεῖναι, ὅτι ἦν ἀμαθὴς τῶν θύραθεν μαθημά-

---

Bibl. Coislin. 410.

(1) Ἐν τῇ βαυαρ. Βιϐλ. cod. 84.

(2) Ἐν τῇ συνοδ. Βιϐλ. τῆς Μόσχας cod. 359. Τὰ πρῶτα λϐ´ Κεφ. ἐν τῇ ἀγγλ. Βιϐλ. cod. Baroc. Theol. 19. 7.

(3) Ἐν τῇ κοϊσλιν. Βιϐλ. cod. 407, ἔνθα λγ´ λόγοι. Ὁ Ἀλλάτιος οὐκ εἶδε τὸ ἑλλην. κείμ. ἀλλ᾽ εἶδεν αὐτὸ πρὸ τοῦ Μοντφωκονίου ὁ Ποντανός, ὃς ἐξέδωκε τὴν μετάφρασιν τῶν λγ´ λόγων Symeonis theologi, monosterii S. Mamantis præfecti, Orationes, ingolstadii, 1603.

(4) Ἐν τῇ Βιϐλ. τοῦ Τουρίνου cod. 37. catal. Taurin. p. 144. in coislin. cod. 291. 292. Bibl. coislin. p. 40. in cod. 177 Monach. Ἐνταῦθα ἐπ᾽ ἴσης in cod. 25 ὡς καὶ in cod. mosquens. Typogr. 48. p. 55 ὁ διάλογος Σχολαστικοῦ τινος περὶ Θεοῦ πρὸς Συμεὼν τὸν θεολόγον. Ἄλλαι ὁμιλίαι in Paris. cod. 895. in mosquens. cod. Typogr. 2. Τὰς πραγματείας δ´ ς´. ή. ί. καὶ ιά. ἐξέδωκεν ὁ Ποντανὸς μόνον λατινιστὶ Ingolstadii, 1603. 4. Ἡ αὐτὴ μετάφρασις in XXII tom. Bibl. Patr. Ἐν τῷ κοϊσλιν. χειρογρ. ἡ τάξις τῶν λόγων ἡ αὐτή, ἥτις καὶ ἐν τῇ ἐκδ. τοῦ Ποντανοῦ. Ἐν τῇ ἀραϐικῇ μεταφρ. λς´ λόγοι ἀσκητικοί, κ´ εὐχαὶ καὶ μέ ἀποκρίσεις κατὰ χειρόγρ. τοῦ ιγ´ αἰῶνος (Maii Collect. Vet. Auct. T. IV. p. 179—187. 143). Ἐν τοῖς σλαϐ. προσευχηταρ. ἀναγινώσκεται εὐχὴ τοῦ Συμεὼν πρὸ τῆς

των. Τοῦτο δείκνυται καὶ ἐκ τῶν ὑπ' αὐτοῦ ποιηθέντων ἰαμβικῶν καὶ ἀνακρεοντ. στίχων. Περὶ τοῦ βιβλίου τῶν ὕμνων λέγει ὁ Στηθάτος: «... ἢ ὡς τῶν καλῶν ἄγευστοι, καὶ πάντη ἀχώρητοι τῶν ὑψηλῶν θεαμάτων διὰ τὴν αὐτοῖς προσοῦσαν παχύτητα, τῆς ἐγχειρήσεως καὶ τῆς τῶν γεγραμμένων ἐνταῦθα περιέργου εἰρήνης απόσχοιντο». Ἐπιτραπήτω ἡμῖν ἐξενεγκεῖν καὶ τὴν ἡμετέραν γνώμην. Ἐν τῇ βίβλῳ τῶν ὕμνων ὑπάρχουσι πολλά, ἅτινα οὐκ εἰσὶ καθαρῶς πνευματικά, ὁρῶνται ἐν αὐτῇ πολλαὶ κινήσεις τοῦ αἰσθήματος, συχναὶ ὁρμαὶ τῆς καρδίας, καὶ τρυφερὰ συναισθήματα. Ρητέον, ὅτι ἐνταῦθα τὸ ἀνθρώπινον αἴσθημα οὔπω πάντη εἰρήνευται ὑπὸ τοῦ Πνεύματος τοῦ Χριστοῦ.

Ἡ κυρία ὑπόθεσις τῶν διδασκαλιῶν τοῦ Συμεὼν ἐστιν ἡ ἐν Χριστῷ πνευματικὴ ἐργασία. Δείκνυσι τὰς ὁδοὺς τῆς ἐσωτερικῆς πάλης· διδάσκει τίνι τρόπῳ δύναταί τις καθικέσθαι τῆς πνευματικῆς τελειότητος· πρὸς τοῦτο δέ, λέγει, ἀναγκαία κατ' ἐξοχὴν ἡ τῶν πνευματικῶν παθῶν καταπολέμησις. Ἡ πρώτη ἡμῶν πτῶσις, λέγει, ἐτελέσθη ἐν τῇ ψυχῇ ὑπὸ τῆς ὑπερηφανίας, διὸ ταπεινωτέον τὴν ψυχήν ([1]). Ἔνιοι τῶν συγχρόνων αὐτῷ, περὶ πλείστου ποιούμενοι τὰς ἐξωτερικὰς ἀρετὰς καὶ τὸ τυπικὸν τοῦ Στουδίου, ἠγείροντο κατ' αὐτοῦ, ὡς βουλομένου καταλῦσαι τὴν μέχρι τότε ἐπικρατοῦσαν μοναστηριακὴν τάξιν. Ἐκ τῶν συγγραμμάτων αὐτοῦ γίγνεται δῆλον, ὅτι οὔτε τοὺς ἐξωτερικοὺς ἀγῶνας, οὔτε τὴν διάταξιν αὐτῶν διενοεῖτο ἀποδοκιμάσαι· διδάσκων δὲ τηρεῖν αὐτούς, ἡγεῖτο ἀναγκαίαν κατ' ἐξοχὴν τὴν πρὸς τὴν φιλαμαρτήμονα ψυχὴν πάλην, καὶ διερχόμενος αὐτὸς τῇ συνεργείᾳ τῆς χάριτος τὴν ὁδὸν τῶν ἐσωτερικῶν θλίψεων, ᾔτει τὸ αὐτὸ καὶ παρὰ τῶν ἄλλων. Ἴδωμεν τὴν εἰς τοὺς συγχρόνους συζητητὰς ἀπόκρισιν αὐτοῦ, ἥτις δείκνυσι σύναμα πάνυ σαφῶς καὶ τὴν ὑπόθεσιν τῶν διδασκαλιῶν αὐτοῦ. «Ἀπιστοῦσι, λέγει, καὶ ἀδύνατον εἶναι ἑαυτοὺς πείθουσι τὸ καθα-

---

Μεταλήψεως. Ἀναγινώσκεται καὶ ἐν τοῖς ἑλληνικοῖς ὑπὸ τὴν ἐπιγραφήν: «Εὐχὴ ἐκ τῶν θείων ἐρωτήσεων τῆς ἁγίας Μεταλήψεως Συμεὼν τοῦ νέου θεολόγου».

([1]) Λόγ. ἡ περὶ πίστεως καὶ ἠθικῆς.

ρεῦσαι ἄνθρωπον τελείως ἀπὸ παθῶν, καὶ ὅλον οὐσιουδῶς ἐν ἑαυτῷ δέξασθαι τὸν Παράκλητον. Διὰ τοῦτο τοίνυν καὶ κατὰ τῆς ἑαυτῶν σωτηρίας λαλοῦσι καὶ πράττουσι, κλείοντες ἐφ' ἑαυτοῖς τὰς πύλας τῆς βασιλείας τῶν οὐρανῶν, καὶ πάντας ἄλλους τοὺς εἰσελθεῖν βουλομένους κωλύοντες. Εἴπου δὲ καὶ ἀκούσωσι περὶ ἑτέρου τινὸς νομίμως ἀγωνισαμένου, καθαρεύοντός τε ἀπὸ πάντων παθῶν, καὶ πᾶσι τὰ μεγαλεῖα κηρύττοντος τοῦ Θεοῦ, ὅσα δηλονότι ἐποίησεν ἐπ' αὐτῷ ὁ Θεός, κατὰ τὰς ἀψευδεῖς ὑποσχέσεις αὐτοῦ· καὶ ὅπως μὲν λέγοντος πρὸς ὠφέλειαν τῶν ἀκουόντων, κατηξιώθη φῶς ἰδεῖν Θεοῦ ἐν φωτὶ δόξης· ὅπως δὲ γνωστῶς ἔργῳ ἐν ἑαυτῷ τὴν ἐπιφοίτησιν κατ' ἐνέργειαν τοῦ Ἁγίου Πνεύματος, καὶ ἅγια ἐν Ἁγίῳ Πνεύματι γέγονεν· εὐθὺς ὥσπερ κύνες λυσσῶντες καθυλακτοῦσιν αὐτοῦ, καὶ κατεσθίειν, εἰ δυνατόν, τὸν ταῦτα λέγοντα σπεύδουσι· παῦσαι, λέγοντες, πεπλανημένε καὶ ὑπερήφανε σύ. Τίς ἄρα τοιοῦτος ἄρτι γέγονεν, ὡς οἱ ἅγιοι Πατέρες ἐγένοντο; τίς δὲ Θεὸν εἶδεν, ἢ ἰδεῖν κἂν ὁπωσοῦν δύναται; τίς Πνεῦμα Ἅγιον ἐπὶ τοσοῦτον ἔλαβεν, ὡς δι' Αὐτοῦ τὸν Πατέρα καὶ τὸν Υἱὸν ἀξιωθῆναι ἰδεῖν; Παῦσαι, μή σε λίθοις καταλευσθῆναι ποιήσωμεν. Ἐξ ὑμῶν μέν, ὦ οὗτοι, ὡς αὐτοί φατε, οὐδεὶς οὐδαμῶς· ἐκ δὲ τῶν προαιρουμένων τὸν σταυρὸν ἆραι καὶ τὴν στενὴν ὁδεῦσαι ὁδόν, καὶ τὰς ἑαυτῶν ἀπολέσαι ψυχὰς ἕνεκεν τῆς αἰωνίου ζωῆς, πολλοὶ μὲν εἶδον καὶ πρότερον· πλείους δέ, οἶμαι, ὁρῶσι καὶ νῦν, καὶ τῶν βουλομένων ἕκαστος ὄψεται· πάντως ὑμεῖς σκαιότητι γνώμης καὶ βασκανίας φαυλότητι τούτους ἰδεῖν οὐκ ἰσχύετε» (¹). «Ὁ γὰρ λέγων μὴ ἁμαρτάνειν τυφλός ἐστι, κεκλεισμένους ἔχων τοὺς ὀφθαλμούς· ὁ δὲ ἔχων τὸν Θεὸν ἁμαρτάνειν οὐ δύναται, ὅτι σπέρμα αὐτοῦ ἐν αὐτῷ μένει, ὡς μάλιστα ἡ θεολογικὴ ἐκείνη τῶν Ἀποστόλων βροντή, ὁ Ἰωάννης βεβαιοῖ» (²). Οἱ λόγοι οὗτοι δεικνῦσιν, ὅτι αἱ καταστάσεις, περὶ ὧν γίγνεται λόγος ὑπὸ τοῦ μακαρίου Συμεών, εἰσὶ τοιαῦται, ὥστε δεῖ προηγήσασθαι αὐτῶν μεγάλους ἀγῶνας.

(¹) Λόγος περὶ προγνώσεως ἀληθινῆς.

(²) Λόγος περὶ ἐργασίας πνευματικῆς (κατὰ τὴν μετάφρασιν τοῦ Ποντανοῦ).

Ὅπως ἴδῃ τις τοῦτο ἐν τοῖς Λόγοις αὐτοῦ ἀρκεῖ ἡ ἀνάγνωσις τοῦ περὶ τῶν τριῶν τρόπων τῆς προσευχῆς, καὶ ἰδίως ἔνθα λέγει περὶ τῶν προπαρασκευαστικῶν καταστάσεων καὶ ἐννοιῶν τοῦ ἀσκητοῦ. «Πρὸ τοῦ θρήνου, λέγει, καὶ τῶν δακρύων μὴ γοητευέτωσαν ἡμᾶς κενοῖς λόγοις, καὶ ἡμεῖς μὴ πλανῶμεν ἑαυτούς... Ἄνευ δακρύων οὐκ ἀναμαλαχθήσεται ἡ σκλήρωσις τῆς καρδίας ἡμῶν, ἡ ψυχὴ οὐχ εὑρήσει πνευματικὴν ταπεινότητα, οὐ δυνησόμεθα γενέσθαι ταπεινοί· ὁ δὲ μὴ οὕτως ἑαυτὸν διαθεὶς οὐ δύναται ἑνωθῆναι τῷ Ἁγίῳ Πνεύματι» (¹). Τὰ συγγράμματα αὐτοῦ περιέχουσι πλείστας καὶ σοφωτάτας ἐννοίας περὶ τοῦ πνευματικοῦ βίου, αἵτινες μετὰ δυνάμεως ἐνεργοῦσιν ἐπὶ τὴν εὐσεβείας διψῶσαν ψυχήν. Ὁ Συμεὼν ἐπεκλήθη Νέος Θεολόγος, διότι ἐδίδασκε τοιαῦτα βαθέα μυστήρια τῆς ἐσωτερικῆς ἀσκήσεως, οἷα ἀπὸ πολλοῦ οὐδεὶς τοσοῦτον σοφῶς καὶ ἀκριβῶς ἐξέθηκεν. Ἐμόρφωσε νέους μαθητάς, —ζηλωτὰς τοῦ θεωρητικοῦ βίου. Ἐν τῷ μετὰ ταῦτα χρόνῳ πολλῷ πλέον, ἢ ζῶντος αὐτοῦ ἐξετιμήθησαν καὶ ἐγένοντο ἅπασιν ἀσπασταὶ αἱ ὄντως πλήρεις θείας σοφίας διδασκαλίαι τοῦ νέου θεολόγου.

§. 300. Ἰλαρίων Μητροπολίτης Κιέβου· α') ἐν τῷ βίῳ.

Ἰλαρίων Μητροπολ. Κιέβου — μέγας φωστὴρ τῆς ρωσσικῆς Ἐκκλησίας. Τὰ περιστατικὰ τοῦ βίου αὐτοῦ εἰσιν ὀλίγον γνωστά. Γνωστὸν μόνον, ὅτι πρὶν ἢ κληθῇ ποιμὴν ἁπάσης τῆς Ρωσσίας, ἦν ἱερεὺς τῆς κώμης Βερεστώβης, ἔνθα ἦν ἡ αὐλὴ τοῦ μεγάλου ἡγεμόνος, καὶ ἔνθα ὁ Ἰαροσλάβος, κατὰ τὸ παράδειγμα τοῦ πατρός, ἠγάπα διατρίβειν, πλουτίζων τὸν ἀποστολικὸν ναὸν καὶ τὸν κλῆρον ταῖς δωρεαῖς τῆς εὐσεβείας αὐτοῦ. Ὁ Ἰλαρίων ἦν καὶ τότε γνωστὸς ὡς ἀνὴρ ἀγαθὸς καὶ πεπαιδευμένος καὶ νηστευτής. Οὐκ ἀρκούμενος τῇ ἐκπληρώσει τοῦ δυσχεροῦς ὑπουργήματος τῆς ἱερωσύνης, ἤνυεν καὶ ἰδίους ἄθλους. Ἐκ Βοροστώβης, κειμένης ἐγγὺς τῶν τειχῶν τῆς νῦν Λαύρας, ἐπορεύετο εἰς ἔρημον λόφον τοῦ Βορυσθένους, σύνδενδρον τότε,

(¹) Κατὰ τὴν λατιν. μετάφρασιν.

ἵνα ἐκεῖ παραδίδωται τῇ προσευχῇ καὶ τῇ περὶ Θεοῦ θεωρίᾳ· ὤρυξεν ἐκεῖ ἐν τῷ ὄρει στενὸν διόργυιον σπήλαιον, καὶ ἐν αὐτῷ ἔψαλλε τὴν ἑωθινὴν καὶ τὴν ἑσπερινὴν δοξολογίαν. Ἡ τοῦ Ἱλαρίωνος εὐσέβεια ἐφείλκυσε τὴν πρὸς αὐτὸν εὔνοιαν τοῦ Ἰαροσλάβου. Τελευτήσαντος τοῦ Μητροπολίτου Θεοπέμπτου, ὥρισεν ὁ μέγας ἡγεμὼν ἐκλεγῆναι Μητροπολίτην τὸν εὐσεβῆ Ἱλαρίωνα. Ὁ σύγχρονος χρονογράφος οὐ λέγει τίνος ἕνεκεν οὐκ ἔπεμψεν αὐτὸν ὁ ἡγεμὼν εἰς Κωνσταντινούπολιν χειροθετησόμενον ἐκεῖ (1). Πιθανόν, ὅτι εἰς τοῦτο συνετέλεσεν ἡ πρὸς τὴν Κωνσταντινούπολιν διεγερθεῖσα ψυχρότης ἕνεκα τῆς πρὸς τοὺς Ῥώσσους αἰχμαλώτους ὠμότητος τῶν ἐν Κωνσταντινουπόλει (2). Οὐδεμία δ' ἀμφιβολία, ὅτι εἰς τοῦτο συνετέλεσαν καὶ αἱ ταραχαὶ καὶ αἱ στάσεις, αἵτινες ἐτελοῦντο ἐν τῇ Ἀνατολῇ ὑπὸ τῶν μηχανορραφιῶν τοῦ Πάπα, καὶ αἵτινες οὐ σμικρὸν ἐτάρασσον καὶ τὴν Ῥωσσίαν. Γνωστόν, ὅτι ὁ Αὐτοκράτωρ διέταξεν ἀποσταλῆναι αὐτῷ ἐκ ῥωσσικῆς πόλεως (πιθανῶς τοῦ Κιέβου) ἀκριβὲς ἀπόγραφον τῆς καθαιρέσεως (3) τοῦ Πατριάρχου Μιχαήλ, ὅπερ ὁ θρασὺς τοῦ Πάπα ἀποσταλμένος Οὔμβερτος ἔθηκε (τῷ 1051) ἐπὶ τῆς ἁγίας τραπέζης τοῦ ἱεροῦ ναοῦ τῆς ἁγ. Σοφίας. Ὅπως καὶ ἂν ἔχῃ, ὁ Ἱλαρίων ἐχειροτονήθη Μητροπολίτης ὑπὸ Συνόδου Ῥώσσων Ἀρχιερέων. « Ἐγὼ ὁ ἐλέῳ τοῦ φιλανθρώπου Θεοῦ μοναχὸς καὶ πρεσβύτερος Ἱλαρίων, εὐδοκίᾳ Αὐτοῦ ἐχειροτονήθην ὑπὸ εὐσεβῶν ἐπισκόπων καὶ ἐνεθρονίσθην ἐν τῇ μεγάλῃ πόλει Κιέβῳ, ἵνα ὦ ἐν αὐτῇ Μητροπολίτης, ποιμὴν καὶ διδάσκαλος. Ἐγένετο δὲ τοῦτο τῷ 6559 (1051), ἡγεμονεύοντος τοῦ εὐσεβεστάτου Ἰαροσλάβου, υἱοῦ τοῦ Βλαδιμήρου ». Οὕτως ἔγραψεν αὐτὸς ὁ Ἱλαρίων ἐν τῷ ἐπιλόγῳ τῆς ὁμολογίας τῆς πίστεως αὐτοῦ (4). Γενόμενος δὲ Μητροπολίτης παρεκάλεσε τὸν Κωνσταντινουπόλεως Πατριάρχην ἐπικυρῶσαι τὴν ἐκλογὴν αὐτοῦ, ὅπερ

(1) Χρονικ. Νέστορος.

(2) Χρονικ. Νέστορ. I. 139.

(3) Βλ. Canisii Thesaur. Monum. Ecclesiast. edit. a Basnag. T. III. p. 326. Gieseler, Kircheng. B. 2. Th. I. S. 342, Anmerk.

(4) Παράρτ. τῶν συγγραμμάτ. τῶν ἁγ. Πατέρ. Τ. Β'. σελ. 287, 288.

καὶ ἐγένετο (¹). Καὶ οἱ ἐκ τῆς ὁμολογίας αὐτοῦ παραχθέντες λόγοι δεικνῦσιν, ὅτι αὕτη ἐγράφη καὶ ἀπεστάλη ποι ὑπ᾽ αὐτοῦ Μητροπολίτου ἤδη ὄντος. Εἰς τὸν χρόνον τῆς ὑπὸ τοῦ Ἱλαρίωνος κυβερνήσεως τῆς Ἐκκλησίας ἀναφέρονται σημαντικώτατα γεγονότα. Ὁ Νέστωρ λέγει περὶ τοῦ χρόνου αὐτοῦ: «Ἤρξατο ἡ χριστιανικὴ πίστις καρποφορεῖν», δηλ. ἐν τῇ συνειδήσει καὶ τῷ βίῳ τοῦ λαοῦ. Εἰς τὸν χρόνον αὐτοῦ ἀνεφέρετο ἡ διάταξις τῆς θείας λατρείας καὶ ἐπ᾽ αὐτοῦ ἐπ᾽ ἴσης ἤρξατο ἀκμάζειν ἡ πνευματικὴ παίδευσις. Ὁ Ἱλαρίων ἐγίνωσκε καλῶς καὶ ᾐσθάνετο τὰς ἀνάγκας τοῦ λαοῦ αὐτοῦ, καὶ ἡ ζῶσα αὐτοῦ ἀγάπη εὕρισκε τὰ μέσα τοῦ θεραπεύειν αὐτάς. Ὁ μακάριος ἀνὴρ ἐξεδήμησε πρὸς Κύριον τῷ 1067. Ὡς Ἐφραὶμ ὁ Περεϊασλαβίας Ἀρχιποίμην ἀναπαύεται ἐν τοῖς σπηλαίοις τοῦ Κιέβου ὑπὸ τὸ ὄνομα τοῦ ὁσίου Ἐφραίμ, οὕτως καὶ ὁ ὅσιος Ἱλαρίων, ὁ ἐκεῖ ἐπ᾽ ἴσης ἀναπαυόμενός, ἐστιν ἀναμφηρίστως ὁ ἱεράρχης Ἱλαρίων, ὁ τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλήσας ἀγῶνας ἐν τῷ σπηλαίῳ μέχρι τῆς ἐπὶ τὸν θρόνον ἀναβάσεως. Ὁ Μητροπολίτης Ἱλαρίων τάσσεται εἰς τοὺς Ρώσσους ἁγίους καὶ ἅγιος καλεῖται ἐν ἐπιγραφῇ συγγράμματος αὐτοῦ (²).

§. 301. β) Ἐν τοῖς συγγράμμασι.

Τὰ τοῦ ἱεράρχου Ἱλαρίωνος συγγράμματά εἰσι τάδε: ὁμιλία περὶ νόμου καὶ χάριτος, ἐγκώμιον εἰς τὸν ἡγεμόνα Βλαδίμηρον, ὁμολογία τῆς πίστεως, λόγος περὶ τοῦ βίου.

Ἡ περὶ νόμου καὶ χάριτος ὁμιλία ἐγράφη κατὰ τῶν Ἰουδαίων, καὶ δείκνυσιν ὅσον ὑπερέχει αὕτη ἐκείνου. Ἐν αὐτῇ ἑρμηνεύει ὁ θεῖος ἀνὴρ κατ᾽ ἐξοχὴν τὴν ἀμοιβαίαν τοῦ νόμου καὶ τῆς χάριτος σχέσιν διὰ τῆς τυπικῆς ἱστορίας τῆς Ἄγαρ καὶ τῆς Σάρ-

(¹) Ἡ Παλινῳδ. παρὰ τῷ πανιερωτ. Γεωργίῳ Κονισ. Ἀνάγν. τῆς μοσχοβ. ἱστορ. ἑταιρ. 1846. ἔτ. σελ. 7.

(²) Χειρόγρ. τῆς ἐκκλησιαστ. Ἀκαδημ. τῆς Μόσχας. Περιγρ. περὶ τῶν Ρώσσων ἁγίων. Βλ. Παράρτ. τῶν συγγραμμ. τῶν ἁγ. Πατ. Τ. Β΄. σελ. 220.

ρας, ἑπόμενος τῷ Ἀποστόλῳ Παύλῳ καὶ ταῖς γνώμαις αὐτῶν τῶν Ἑβραίων. Περαιτέρω δείκνυσι τὴν παγκόσμιον σημασίαν τοῦ χριστιανισμοῦ καὶ τὴν τοῦ μωσαϊκοῦ νόμου τοπικὴν σημασίαν. «Πρότερον ἐν μόνῃ τῇ Ἱερουσαλὴμ ἦν τόπος πρὸς προσκύνησιν τοῦ Θεοῦ· νῦν δ' ἀν' ἅπασαν τὴν γῆν . . . οὕτω λέγει ὁ Σωτὴρ τῇ Σαμαρείτιδι (Ἰωάν. δ'. 21, 23)· οὕτω καὶ ἐγένετο . . . » Ἐπὶ δὲ τούτοις ἐκτίθεται ἡ κυρία ἔννοια τοῦ χριστιανισμοῦ, ἤτοι ἡ ἕνωσις τῆς θεότητος μετὰ τῆς ἀνθρωπότητος, καὶ ἐλέγχεται ἡ τύφλωσις τῶν Ἰουδαίων, οὐκ ἐννοησάντων τὴν θείαν ἀξίαν τοῦ Ἰησοῦ καὶ τὴν περὶ Αὐτοῦ διδασκαλίαν τῶν Προφητῶν. Ἀξιοσημείωτον, ὅτι ἐλέγχων τοὺς μοχθηροὺς Ἰουδαίους ὁ ἅγιος Ἱλαρίων, ἐκτίθησι καὶ τοιαύτας αὐτῶν βλασφημίας κατὰ τῆς ἁγίας πίστεως, οἵας ἠδύνατό τις μᾶλλον ἀκοῦσαι ἐκ τοῦ στόματος φανατικοῦ Ἑβραίου, ἢ ἀναγνῶναι ἐν οἱῳδήποτε βιβλίῳ. Ἐντεῦθεν γίγνεται δῆλον, ὅτι ὁ ἱερὸς ἀνὴρ ἐσθ' ὅτε διελέγετο πρὸς τοὺς Ἑβραίους, καὶ ὅτι πρὸς προφύλαξιν τοῦ ποιμνίου αὐτοῦ ἀπὸ τῶν βλασφημιῶν ἐκείνων ἡρμήνευσε τὴν σημασίαν τοῦ νόμου. Τέλος ἐκτίθησι τὴν περὶ τῆς καθολικότητος τῆς χάριτος ἔννοιαν ἀναφορικῶς πρὸς τὸν ῥωσσικὸν λαόν.

Τὸ ἐγκώμιον εἰς τὸν ἡγεμόνα Βλαδίμηρόν ἐστι ζωηρὰ διαγραφὴ τῶν κατορθωμάτων καὶ τῶν ἀρετῶν τοῦ ἁγίου τούτου ἀνδρός. Δείκνυσιν ὅσον ζωηρῶς αἰσθάνεται ἡ ψυχὴ τοῦ ῥώσσου διδασκάλου τὴν ἀξίαν τῆς χριστιανικῆς πίστεως, ἣν ὁ Βλαδίμηρος εἰσήγαγεν εἰς Ῥωσσίαν. Ἐν αὐτῇ γίγνεται λόγος καὶ τίνος ἕνεκεν οὗτος ἐξελέξατο τὴν τῶν Ἑλλήνων πίστιν. « Ἀείποτε, λέγει, ἐγίγνετο αὐτῷ λόγος περὶ τῆς ὀρθοδόξου, φιλοχρίστου καὶ ἰσχυρᾶς τὴν πίστιν ἑλληνικῆς γῆς, ὅτι σέβουσιν ἐκεῖ τὸν ἕνα ἐν Τριάδι Θεὸν καὶ προσκυνοῦσιν Αὐτόν, ὅτι τελοῦνται ἐκεῖ δυνάμεις, θαύματα καὶ σημεῖα, ὅτι αἱ ἐκκλησίαι ἐκεῖ εἰσὶ πλήρεις ἀνθρώπων, ὅτι ἅπαντες οἱ εὐσεβεῖς ἀσχολοῦνται ἔν τε ταῖς κώμαις καὶ ταῖς πόλεσι περὶ τὴν προσευχὴν καὶ ἅπαντες παρίστανται τῷ Θεῷ ». Τὸ ἐγκώμιον τοῦτο ἐστὶ πολύτιμον πολλῶν ἕνεκα.—

Ἐν τῇ ὁμολογίᾳ τῆς πίστεως ἐκτίθησιν ὁ Ἱλαρίων τὴν περὶ τῶν θείων δογμάτων ἔννοιαν αὐτοῦ. Ἐκτενέστερον τῶν ἄλλων

διαγράφει τὰ δόγματα περὶ τῆς Ἁγ. Τριάδος καὶ περὶ τῆς Ἐνανθρωπήσεως τοῦ Υἱοῦ τοῦ Θεοῦ, συντομώτερον δὲ τὴν μέλλουσαν κρίσιν, τὴν ὑποταγὴν αὐτοῦ ταῖς ἑπτὰ οἰκουμενικαῖς Συνόδοις, τὴν πρὸς τὴν Θεομήτορα, τὰς εἰκόνας, τὰ ἅγια λείψανα, καὶ τὴν Ἐκκλησίαν ὀφειλομένην τιμήν. «Πιστεύω, λέγει ὁ Ἱλαρίων, εἰς ἕνα Θεόν, ἐν Τριάδι δοξαζόμενον, Πατέρα ἀγέννητον, ἄναρχον, ἀΐδιον, εἰς Υἱὸν γεννηθέντα μέν, ἀλλ' ἐπ' ἴσης ἄναρχον καὶ ἀΐδιον, εἰς Πνεῦμα Ἅγιον, ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον καὶ ἐν τῷ Υἱῷ φανερούμενον, ἀλλ' ἐπ' ἴσης συνάναρχον καὶ ἴσον τῷ Πατρὶ καὶ τῷ Υἱῷ· εἰς Τριάδα ὁμοούσιον, ἀλλὰ τοῖς προσώποις διαιρουμένην, Τριάδα ἐν τοῖς ὀνόμασιν, ἀλλ' ἕνα Θεόν. Οὐ συγχέω τὴν διαίρεσιν, καὶ οὐ διαιρῶ τὸ ἑνιαῖον. Ἑνοῦνται (τὰ πρόσωπα) ἄνευ συγχύσεως, καὶ διαιροῦνται ἀδιαιρέτως· (τὸ ἓν πρόσωπον) ὀνομάζεται Πατήρ, διότι γεννᾷ· (τὸ ἕτερον) Υἱός, διότι γεννᾶται· (τὸ τρίτον) Πνεῦμα Ἅγιον, διότι ἐκπορεύεται μέν, ἀλλ' οὐκ ἀφίσταται (τοῦ Πατρὸς). Ὁ Πατὴρ οὐκ ἔστι Υἱός, οὔτε ὁ Υἱὸς Πατήρ, οὔτε τὸ Ἅγιον Πνεῦμα Υἱός· ἀλλὰ παρ' ἑκάστῳ τὸ ἴδιον ἄνευ συγχύσεως, ἐκτὸς τῆς Θεότητος. Μία γὰρ ἐν τῇ Τριάδι θεότης, μία κυριότης, μία βασιλεία... Πιστεύω ἐπ' ἴσης καὶ ὁμολογῶ, ὅτι ὁ Υἱὸς τῇ εὐδοκίᾳ τοῦ Πατρός, τῇ βουλήσει τοῦ Ἁγίου Πνεύματος, κατῆλθεν εἰς τὴν γῆν διὰ τὴν σωτηρίαν τοῦ ἀνθρωπίνου γένους· ἀλλ' οὐ κατέλιπε τοὺς οὐρανοὺς καὶ τὸν Πατέρα· τῇ ἐπισκιάσει τοῦ Ἁγίου Πνεύματος ἐσκήνωσεν ἐν τῇ γαστρὶ τῆς Παρθένου Μαρίας καὶ συνελήφθη, καί, ὡς Αὐτὸς μόνος οἶδεν, ἐγεννήθη ἄνευ σπορᾶς ἀνδρός, διαφυλάξας τὴν Μητέρα Παρθένον, ὡς καὶ πρέπον Θεῷ, — καὶ ἐν τῇ γεννήσει Αὐτοῦ, καὶ πρὸ τῆς γεννήσεως, καὶ μετὰ τὴν γέννησιν, ἀλλ' οὐκ ἀποβαλὼν τὴν Υἱότητα. Ἐν τοῖς οὐρανοῖς ἄνευ Μητρός, ἐπὶ δὲ τῆς γῆς ἄνευ Πατρός.... ἀνετράφη ὡς ἄνθρωπος, καὶ ἦν ἀληθὴς ἄνθρωπος, οὐκ ἐν φάσματι, ἀλλ' ὄντως ἐν τῇ ἡμετέρᾳ σαρκί· τέλειος Θεὸς καὶ τέλειος ἄνθρωπος ἐν δυσὶ φύσεσι καὶ θελήμασιν. Ὅπερ ἦν, οὐκ ἐχώρισε, καὶ ὅπερ οὐκ ἦν προσέλαβεν. Ἔπαθε σαρκὶ ὑπὲρ ἐμοῦ, ὡς ἄνθρωπος, ἀλλὰ κατὰ τὴν θεότητα ἔμεινεν ἀπαθής, ὡς Θεός. Ἀπέθανεν ὁ ἀθάνατος, ἵνα ζωοποιήσῃ ἐμὲ τὸν θνητόν· κατῆλθεν εἰς τὸν ᾅδην, ἵνα ἐγείρῃ καὶ ζωοποιήσῃ τὸν ἐμὸν προπά-

τορα Ἀδὰμ καὶ δήσῃ τὸν διάβολον. Ἀνέστη ὡς Θεός· τριήμερος ἀνέστη ἐκ νεκρῶν, ὡς νικητής. Χριστὸς ὁ βασιλεύς μου, ἐπεὶ ἐφανέρωσεν ἑαυτὸν πολλάκις τοῖς μαθηταῖς Αὐτοῦ, Ἀνελήφθη εἰς οὐρανοὺς πρὸς τὸν Πατέρα, οὗ οὐκ ἀφίστατο,— καὶ ἐκάθισεν ἐκ δεξιῶν Αὐτοῦ. Προσδοκῶ, ὅτι καὶ πάλιν ἐλεύσεται οὐρανόθεν, οὐ λάθρα, ὡς τὸ πρῶτον, ἀλλ' ἐν τῇ δόξῃ τοῦ Πατρός, μετὰ τῶν οὐρανίων δυνάμεων. Οἱ νεκροί, ἐν φωνῇ Ἀρχαγγέλου, ἐξελεύσονται εἰς ἀπάντησιν Αὐτοῦ, καὶ κρινεῖ ζῶντας καὶ νεκρούς, καὶ ἀποδώσει ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ. Πιστεύω καὶ εἰς τὰς ἑπτὰ Συνόδους τῶν ὀρθοδόξων ἁγίων Πατέρων, καὶ ὃν αὗται ἀπορρίπτουσι, κἀγὼ ἀπορρίπτω· ὃν ἀνεθεμάτισαν, κἀγὼ ἀναθεματίζω... Τὴν ἁγίαν ὑπερένδοξον Παρθένον Μαρίαν ὀνομάζω Θεοτόκον, σέβω Αὐτὴν καὶ μετὰ πίστεως προσκυνῶ Αὐτήν. Καὶ ἐπὶ τῆς ἁγίας Αὐτῆς εἰκόνος ὁρῶ τὸν Κύριον βρέφος ἐπὶ τοῦ κόλπου Αὐτῆς καὶ ἀγάλλομαι· ὁρῶ Αὐτὸν ἐσταυρωμένον, καὶ χαίρω. Ὁρῶ τὸν ἀναστάντα καὶ εἰς τοὺς οὐρανοὺς ἀναληφθέντα, — καὶ ἀνατείνω τὰς χεῖρας καὶ προσκυνῶ Αὐτόν. Ἐπ' ἴσης ἀτενίζω εἰς τοὺς ἁγίους Αὐτοῦ καὶ δοξάζω τὸν σώσαντα αὐτούς. Τὰ λείψανα αὐτῶν ἀσπάζομαι μετ' ἀγάπης καὶ πίστεως. Κηρύσσω τὰ θαύματα αὐτῶν, καὶ τὰς ὑπ' αὐτῶν τελουμένας ἰάσεις ἀποδέχομαι... Οὕτω πιστεύω, καὶ οὐκ αἰσχύνομαι· ὁμολογῶ ἐνώπιον τῶν λαῶν, καὶ ὑπὲρ τῆς ὁμολογίας ἕτοιμός εἰμι θῦσαι τὴν ἐμαυτοῦ ψυχήν...» Ἡ ὁμολογία αὕτη δείκνυσιν, ὅτι ἡ πίστις τοῦ Ἱλαρίωνος οὐκ ἦν ἔργον μιᾶς ἐννοίας, ἀλλ' ἔργον ἁπάσης τῆς ψυχῆς, ἅπαντος τοῦ βίου αὐτοῦ· ἐπ' ἴσης δείκνυσιν, ὅτι ὁ μακάριος Ἱλαρίων ἐνόει τὴν πίστιν σαφῶς, ἀκριβῶς, ἐξαιρέτως.

Ἐν τῷ περὶ τοῦ βίου λόγῳ δίδωσιν ὁ ἅγιος Ἱλαρίων τοῖς τὸν ὑψηλὸν καὶ μετάρσιον βίον πολιτευομένοις ἀρίστας συμβουλάς. Ὁ λόγος ἐστὶ βραχὺς μέν, ἀλλὰ πλείστου ἄξιος.

§. 302. Θεοδόσιος ὁ Πεκιέρσκιος.

Ὁ ὅσιος Θεοδόσιος (¹), δεύτερος ἡγούμενος τῆς ἐν Κιέβῳ

(¹) Ὁ βίος αὐτοῦ περιεγράφη ὑπὸ τοῦ ὁσ. Νέστορος τοῦ χρονογρ.

Λαύρας, ποθῶν τοὺς ἱεροὺς τῆς ἀσκήσεως διαθλῆσαι ἀγῶνας, ἐξῆλθε κρύφα τοῦ οἴκου τῆς μητρός, καὶ παρέστη τῷ ὁσίῳ Ἀντωνίῳ, ὃν μετὰ δακρύων ἱκέτευσε δέξασθαι αὐτόν. Καρείς, ὅτε τὸ εἰκοστὸν τρίτον ἔτος ἦγε, προσηύχετο καὶ ἀνεγίνωσκε ψυχοσωτηρίους βίβλους ἡμέρας καὶ νυκτός. Τελευτήσαντος τοῦ Βαρλαάμ, ἐξελέγη τῷ κοινῷ τῶν ἀδελφῶν πόθῳ καὶ τῇ εὐλογίᾳ τοῦ ὁσίου Ἀντωνίου ἡγούμενος. Ὁ σοφὸς ἀσκητής, ὁρίζων τοῖς μοναχοῖς διαφόρους ἀσχολίας, ἐπέτασσεν ἐνίοις μὲν αὐτῶν ἀντιγράφειν βιβλία, ἅπασι δέ, τὴν ἀνάγνωσιν καὶ τὴν μουσικήν. Ἡγεμόνες καὶ μεγιστᾶνες ἤρχοντο ἀκροασόμενοι τὰς παραινέσεις καὶ διδασκαλίας αὐτοῦ. Ἦν μέγας τῶν ἀθώων πρόμαχος. Ἡ Πνευματικὴ τοῦ θείου ἀνδρὸς πεῖρα εἵλκυσε πρὸς αὐτὸν πάνυ πολλοὺς καὶ ὁ ἀριθμὸς τῶν μοναχῶν ἐπ᾽ αὐτοῦ ἀπὸ 20 ηὐξήθη μέχρι τῶν 100. Μεριμνῶν δὲ περὶ τῆς κρείττονος αὐτῶν διατάξεως, ἔμαθε παρὰ τοῦ Στουδίτου μοναχοῦ Μιχαήλ, ἀφικομένου (τῷ 1068) μετὰ τοῦ Μητροπολίτου Γεωργίου ἐκ Κωνσταντινουπόλεως, ὅσον θαυμαστὸν ἦν τὸ τυπικὸν τῆς Μονῆς τοῦ Στουδίου. Ἐκ τούτου δ᾽ εἰσήγαγεν αὐτὸ εἰς τὴν ἑαυτοῦ, καὶ μετέδωκεν ἁπάσαις ταῖς ἐν Ρωσσίᾳ Μοναῖς. Τῷ 1074 κατέλυσε τὸν βίον ὁ ἅγιος ἀσκητής (¹).

Ὁ Νέστωρ γράφει, ὅτι ὁ Θεοδόσιος ἔγραψεν ἐπιστολὴν πρὸς τὸν ἡγεμόνα Σβιατοπόλκον, ἐλέγχων αὐτὸν ἐπὶ τῇ ἐξορίᾳ τοῦ πρεσβυτέρου ἀδελφοῦ Ἰζιασλάβου: «Ἔπειτα δ᾽ ἔγραψε πρὸς αὐτὸν μακρὰν ἐπιστολήν, ἐλέγχων αὐτὸν καὶ λέγων: φωνὴ αἵματος τοῦ ἀδελφοῦ σου βοᾷ κατὰ σοῦ πρὸς τὸν Θεόν, ὡς τὸ τοῦ Ἄβελ κατὰ τοῦ Κάϊν καὶ ἄλλων πολλῶν ἀρχαίων διωκτῶν, καὶ φονέων, καὶ μισαδέλφων ...» Ἀναγνοὺς ταύτην τὴν ἐπιστολὴν ὁ Σβιατοπόλκος τοσοῦτον ἐταράχθη, ὥστε ἔρριψεν αὐτὴν κατὰ γῆς καὶ ἔγνω ὑπερορίσαι αὐτόν. Ἡ ἐπιστολὴ αὕτη οὐ διεσώθη εἰς ἡμᾶς.

Ὁ αὐτὸς μαθητὴς τοῦ ἁγίου Θεοδοσίου γράφει: «Ὁτὲ μὲν ἐξε-

(¹) Ἡ μνήμη αὐτοῦ τελεῖται τῇ γ´ Μαΐου· ἡ δ᾽ ἀποκάλυψιν τῶν λειψάνων αὐτοῦ, γενομένη 17 ἔτη μετὰ τὴν τελευτὴν αὐτοῦ, τῇ ιδ´ Αὐγούστου.

εφώνει αὐτὸς ἐν τῇ Ἐκκλησίᾳ πρὸς τοὺς ἀδελφοὺς ἐκκλησιαστικοὺς λόγους, ὁτὲ δ' ἐνετέλλετο τῷ μεγάλῳ Νίκωνι διδάσκειν . . . ἐπ' ἴσης καὶ τῷ ὁσίῳ ἡμῶν πατρὶ Στεφάνῳ, ἐκκλησιάρχῃ τότε ὄντι ». Συνῳδὰ τοῖς λόγοις τούτοις τοῦ ὁσίου Νέστορος ἓν ἀρχαῖον χειρόγραφον περιέχει, μετὰ τὰς ὁμιλίας τοῦ ὁσίου Θεοδώρου τοῦ Στουδίτου καὶ ἄλλων, ὁμιλίας τοῦ ὁσίου Θεοδοσίου πλήρεις ἁπλότητος καὶ κατανυκτικωτάτας: α] περὶ ὑπομονῆς καὶ ἀγάπης· β] περὶ ὑπομονῆς, ἀγάπης καὶ νηστείας (ἰδίως κατὰ τῶν μεμψιμοίρων καὶ ἀνυπομόνων)· γ] περὶ ὑπομονῆς καὶ ἐλέους· δ] περὶ ὑπομονῆς καὶ ταπεινοφροσύνης· ε] περὶ προσευχῆς. Ἐν ταῖς ὁμιλίαις ταύταις, ὧν συγγραφεὺς καλεῖται διαρρήδην ὁ ὅσιος Θεοδόσιος, καὶ αἵτινες κατὰ τοὺς λόγους τοῦ Νέστορος καὶ τὴν μνείαν τοῦ ὑπ' αὐτοῦ εἰσαχθέντος τυπικοῦ, ἀνήκουσιν ἀναμφηρίστως εἰς αὐτόν, προτρέπει ὁ θεῖος ἀνὴρ τοὺς ἀδελφοὺς εἶναι εὐσταθεῖς, ἀνδρείους, πράους καὶ ταπεινούς.

Ἐξ ἑτέρας συλλογῆς τῶν ὁμιλιῶν γνωστὴ ἡ ὁμιλία Θεοδοσίου ἡγουμένου Πεχ̣έρας περὶ τῶν θείων ποινῶν. Ἐν αὐτῇ ποιησάμενος λόγον ὁ ἱερὸς ἀνὴρ περὶ τῶν θείων ποινῶν, ἐλέγχει τὰς δεισιδαιμονίας καὶ δίδωσιν ἐξαιρέτους παραινέσεις περὶ προσευχῆς, νηστείας καὶ ἐγκρατείας.

Τέλος ἐν τῷ βιβλίῳ «ἡ χρυσῆ ἅλυσις» ἀναγινώσκεται λόγος συγγραφεὶς ὑπὸ τοῦ ἁγίου μοναχοῦ Θεοδοσίου.

Ὅσον ἀφορᾷ εἰς τὴν ἀπόκρισιν αὐτοῦ τῇ ἐρωτήσει τοῦ μεγάλου ἡγεμόνος Ἰζιασλάβου περὶ τῆς πίστεως τῶν Βαριάγων, λέγομεν, ὅτι αὕτη οὐκ ἐγράφη ὑπ' αὐτοῦ, ἐν ᾗ μορφῇ ἐστι νῦν γνωστὴ ἐκ τῶν χειρογράφων. Τοῦτο δῆλον ἐκ τοῦ περιεχομένου αὐτῇ. Ἡ γλῶσσα οὐ διαπρέπει ἐπὶ ἀρχαιότητι. Ἀδύνατον εἰπεῖν, ὅτι ἡ ἀπόκρισις ἦν πολλοῦ ἀξία· π. χ. ἐν αὐτῇ τῇ ἀρχῇ λέγει περὶ τῶν Λατίνων: «Πρῶτον οὐκ ἀσπάζονται τὰς εἰκόνας τῶν ἁγίων, δεύτερον οὐ μόνον οὐκ ἀσπάζονται τὰ λείψανα τῶν ἁγίων, ἀλλὰ καὶ καταπατοῦσιν αὐτά». Εἶτα δὲ λέγει: «οἱ γὰρ Λατῖνοι ἔχουσιν Εὐαγγέλιον καὶ Ἀπόστολον καὶ ἁγίας εἰκόνας». Γνωστόν, ὅτι ὁ Ἰζιασλάβος ᾔτει παρὰ τοῦ Πάπα Γρηγορίου τοῦ Ζ΄ συνδρομὴν κατὰ

τοῦ Σδιατοπόλκου, καὶ ἐντεῦθεν ἡ συνείδησις οὐκ ἠδύνατο μὴ ταράσσειν τὸν εὐσεβῆ ἡγεμόνα ταῖς ἀπορίαις περὶ τῆς πίστεως ἐκείνων, οἷς ἠβούλετο κοινωνῆσαι. Τὸ δὲ σέβας αὐτοῦ πρὸς τὸν Θεοδόσιον ἠδύνατο ἀναγκάσαι αὐτὸν αἰτεῖν παρ' αὐτοῦ λύσεις τῶν ἑαυτοῦ ἀμφιβολιῶν. Ἐντεῦθεν δυνάμεθα ὑποθεῖναι, ὅτι ἡ νῦν γνωστὴ τοῦ ὁσίου ἀπόκρισις περιέχει μὲν τὰς ἐκ στόματος παραδοθείσας ἐννοίας αὐτοῦ, ἀλλὰ μετὰ παραλλαγῶν ἀδεξίου ἑρμηνευτοῦ.

§. 303. Ἰωάννης ὁ Μητροπολίτης.

Ἰωάννης ὁ μακάριος Μητροπολίτης πασῶν τῶν Ρωσσιῶν. Ἀφίκετο ἐξ Ἑλλάδος μετὰ τὸν διάδοχον τοῦ Ἱλαρίωνος Γεώργιον τῷ 1080 ἐν τῷ ἀξιώματι τοῦ Μητροπολίτου καὶ ἕνεκα τῶν ἀγαθῶν αὐτοῦ ἔργων ἐπωνομάσθη ἀγαθός. Ὁ ὅσιος Νέστωρ λέγει περὶ αὐτοῦ: «Παρόμοιος αὐτῷ οὔπω ἦν ἐν Ρωσσίᾳ καὶ οὐκ ἔσται· ἀνὴρ πολυμαθής, διδακτικός, ἐλεήμων πρὸς τοὺς ἐνδεεῖς καὶ τὰς χήρας, φιλόφρων τῷ τε πλουσίῳ καὶ τῷ πτωχῷ, ταπεινὸς καὶ σιωπηλός, κάτοχος τοῦ δώρου τοῦ λόγου καὶ ταῖς ἑαυτοῦ ὁμιλίαις παραμυθητὴς τῶν ἐν θλίψεσιν». Ἡ διαγραφὴ αὐτὴ τῶν προσόντων τοῦ ἱεράρχου χρησιμεύει ἔτι ὡς διασάφησις ἑτέρου χαρακτῆρος, ᾧ διέκρινον αὐτόν. Ἀπεκάλουν αὐτὸν Προφήτην τοῦ Χριστοῦ. Ἡ ὑπὸ τοῦ Νέστορος γενομένη διαγραφὴ δείκνυσιν, ὅτι οὐκ ἀποδεκτέον τὴν ὀνομασίαν ταύτην ἐν τῇ συνήθει αὐτῆς σημασίᾳ, ἀλλ' ἐν τῇ τοῦ διορατικοῦ (¹). Κατὰ τὴν μαρτυρίαν τοῦ ἐπισκόπου Σίμωνος, ὁ Μητροπολίτης Ἰωάννης ἐνεκαίνισε μετά τινων ἐπισκόπων τῇ ιδ' Αὐγούστου τοῦ 1089 ναὸν ἐν τῇ Μονῇ τῆς Πεκιέρας. Πιθανῶς οὐ πολὺ μετὰ τοῦτο ἐξεδήμησε πρὸς Κύριον, διότι κατὰ τὸ ἐπιὸν ἔτος ὁρῶμεν διάδοχον αὐτοῦ ἐν Κιέβῳ (²).

§. 304. Ἐπιστολὴ αὐτοῦ καὶ κανόνες.

Ὁ ἱεράρχης Ἰωάννης ἔγραψε:

(¹) «Ἰωάννου Μητροπολίτου Ρωσσίας, τοῦ ἐπικληθέντος Προφήτου τοῦ Χριστοῦ, ἐκκλησιαστικὸς κανών». Οὕτως ἐπιγράφεται ὁ κανὼν αὐτοῦ ἐν ἅπασι τοῖς ἀπογράφοις.

(²) Βλ. χρον. Νέστορος.

α] *Ἐπιστολὴν πρὸς τὸν Κλήμεντα Πάπαν Ρώμης*. Ἡ ἐπιστολὴ αὕτη γνωστὴ κατά τινα σλαβικὰ χειρόγραφα ἄνευ τοῦ ὀνόματος τοῦ Πάπα, πρὸς ὃν ἐγράφη, ἀπεδίδοτο ὑπὸ τοῦ συγγραφέως τῆς Παλινῳδίας καὶ ἄλλων τῷ Μητροπολίτῃ Ἰωάννῃ τῷ Δ΄. Ἀλλ' ἐν τῇ ἐπιγραφῇ τῆς ἑλληνικῆς ἐπιστολῆς ὑπάρχει τὸ ὄνομα τοῦ Π. Κλήμεντος, καί, ἐπειδὴ ἡ ἐπιστολὴ ἐγράφη ἑλληνιστί, ἡ ἑλληνικὴ ἐπιγραφή ἐστιν ἀξιόπιστος. Ἐπὶ πολὺ ἠπόρουν περὶ τοῦ, ὅστις ἦν ὁ Πάπας Κλήμης, ᾧ ἐπέστειλεν ὁ Μ. Ἰωάννης. Ἐν Ρώμῃ οὐκ ἦν πάπας ὀνομαζόμενος Κλήμης οὔτε ἐπὶ τοῦ Γ΄ οὔτε ἐπὶ τοῦ Δ΄ Ἰωάννου. Ἀλλ' ἐπὶ τοῦ Μητροπολίτου Ἰωάννου, τοῦ Προφήτου τοῦ Χριστοῦ, ἐξελέγη κελεύσει τοῦ Αὐτοκράτορος Ἑρρίκου, ἐχθροῦ τοῦ Ἱλδεβράνδρου, πάπας ὁ Ραβέννης Ἀρχιεπίσκοπος, ὃς μετὰ τοῦ ὀνόματος τοῦ Κλήμεντος ἔμεινε Πάπας μέχρις αὐτοῦ τοῦ θανάτου, ἀπὸ τοῦ 1080—1089. Τὸ σύγχρονον τοῦτο τοῦ Π. Κλήμεντος τῷ Μ. Ἰωάννῃ τῷ Β΄ χρησιμεύει ὡς ἰσχυρὰ βάσις τῆς βεβαιότητος, ὅτι ἡ πρὸς τὸν Π. Κλήμεντα ἐπιστολὴ ἐγράφη ὑπὸ τοῦ Μ. Ἰωάννου τοῦ Β΄ οὐχὶ δ' ὑπὸ τοῦ Δ΄ (1). Τοῦτο ἀποδείκνυται ἔτι καὶ ὑπὸ τῶν περιστατικῶν. Γνωστόν, ὅτι ὁ Ἰζιασλάβος, ἐκβληθεὶς τοῦ Κιέβου ὑπὸ τῶν ἀδελφῶν καὶ ληστευθεὶς ὑπὸ τοῦ βασιλέως τῆς Πολωνίας, ᾐτήσατο τὴν συνδρομὴν τοῦ Αὐτοκράτορος Ἑρρίκου. Ὁ Αὐτοκράτωρ οὐδὲν ἔπραξεν ὑπὲρ τοῦ Ἰζιασλάβου, ὡς καὶ ὁ ὑπερήφανος Ἱλδεβράνδος, οὗ ἐνώπιον ἐταπείνου ἑαυτὸν ὁ τοῦ Ἰζιασλάβου υἱός. Ταπεινωθεὶς καὶ αὐτὸς ὁ Ἑρρῖκος ὑπὸ τοῦ ἀλαζόνος Ἱλδεβράνδου, ἠναγκάσθη αἰτήσασθαι βοήθειαν ἐν τῇ μετὰ τῆς ρωσσικῆς Ἐκκλησίας συμμαχίᾳ. Ταύτην δὲ τὴν ἐπιθυμίαν τῆς συμμαχίας τῆς γερμανικῆς Δύσεως μετὰ τῆς ρωσσικῆς Ἐκκλησίας ὁρῶμεν προφανῶς ἐν αὐτῇ τῇ ἀρχῇ τῆς ἐπιστολῆς τοῦ Μ. Ἰωάννου πρὸς τὸν Π. Κλήμεντα.

Ἡ τῆς ἐπιστολῆς ταύτης σλαβικὴ μετάφρασις οὐκ ἔστι μὲν κατὰ πάντα ὀρθή, ἀλλὰ προσεγγίζει τῷ πρωτοτύπῳ μᾶλλον, ἢ ἡ ὑπὸ τοῦ Ἑρβεστενίου γενομένη λατινικὴ μετάφρασις (2).

(1) Βλ. Νοβόλτηνα περὶ τοῦ Μ. Ἰωάννου τοῦ Β΄.

(2) Τὸ ἑλληνικ. κείμενον ἐν τοῖς χειρογρ. τῆς ἐν Μόσχᾳ συνοδ. Βιβλι-

Ἡ ἐπιστολὴ τοῦ ἱεράρχου τῆς ρωσσικῆς Ἐκκλησίας ἀποπνέει ἀποστολικὴν πρᾳότητα, καθάπερ διαπρέπει καὶ ἐπὶ λαμπρᾷ κατανοήσει τῆς ἀληθείας. Ἰδοὺ τὶ γράφει τῷ Πάπᾳ:

» Ἀπεδεξάμην τὴν ἐν Κυρίῳ ἀγάπην σου, ὦ τοῦ Θεοῦ ὡς ἀληθῶς ἄνθρωπε, καὶ τῆς καθολικῆς ἄξιε καθέδρας καὶ κλήσεως, ὅτι καίτοι πόρρω καθήμενος τῆς ἡμετέρας εὐτελείας καὶ χθαμαλότητος τοῖς ἀγάπης πτεροῖς φθάνεις ἄχρις ἡμῶν καὶ προσαγορεύεις γνησίως καὶ φιλικῶς καὶ ὑπερεύχῃ πνευματικῶς, καὶ τὰ τῆς ἡμετέρας πίστεως τῆς ἀμωμήτου καὶ ὀρθοδόξου διδάγματα ὑπεραποδέχῃ καὶ ἐκθειάζεις, ὡς ὁ ἱερὸς ἀνὴρ καὶ τὰ πάντα τίμιος καὶ ἐνάρετος ἐπίσκοπος τῆς σῆς ἱερότητος ἀπήγγειλε καὶ σαφῶς ἡμῖν διετράνωσεν. Ἐπεὶ οὖν οὕτω ταῦτα καὶ τοιοῦτος ἡμῖν ἐκ Θεοῦ προεβλήθης ἀρχιερεὺς οὐ κατὰ τοὺς μικρὸν ἔμπροσθεν αὐτόθι ἀρχιερατεύσαντας παραχαράκτας τῆς ἀληθείας, καὶ κιβδηλεύοντας τὴν εὐσέβειαν, διὰ τοῦτο κἀγὼ ὁ τὰ πάντα ἐλάχιστος προσαγορεύω σου τὴν ἱερὰν κεφαλὴν καὶ νοερῶς αὐτασπάζομαι καὶ εἴης μοι μάλα χαίρων καὶ πρὸς τῆς ἄνωθεν ὑπερτάτης καὶ χειρὸς παντοδυνάμου φυλαττόμενος πάντοτε, καὶ δῴη ὁ φιλοικτίρμων καὶ εὐδιάλλακτος ἐλεήμων Θεὸς ἐπὶ σοῦ καὶ τῶν ὑπὸ σὲ διόρθωσιν δέξασθαι τὰ μεταξὺ ἡμῶν καὶ ὑμῶν. Οὐκ οἶδα ὁπόθεν καὶ ὅπως ἀναφυέντα καὶ ἀνακύψαντα σκάνδαλα καὶ κωλύματα τῆς θείας ὁδοῦ, ἃ πῶς καὶ τίνα τρόπον οὐ μέχρι νῦν διόρθωσιν εἴληφε καὶ πάνυ θαυμάζω. Οὐκ οἶδα γὰρ ποῖος δαίμων πονηρός τε καὶ βάσκανος ἀληθείας ἐχθρὸς καὶ εὐσεβείας πολέμιος τὰ τοιαῦτα ἐκαινοτόμησε καὶ τὴν ἀδελφικὴν ἡμῶν ἀγάπην καὶ σύμπνοιαν τῆς ὅλης ἀπέρρηξε τῶν χριστιανῶν ὁμηγύρεως. Οὐ τὸ καθόλου φημί, χριστιανοὺς γὰρ ὑμᾶς Θεοῦ χάριτι ἄνωθεν ἴσμεν καὶ ἐν πολλοῖς λίαν ἀποδεχόμεθα, ἀλλ' ὅτι μὴ συμφέρεσθαι κατὰ πάντα ἡμίν, ἀλλ' ἔν τισιν ἀποσχίζεσθαι. Σκόπει δὲ οὕτως. Ἑπτὰ μὲν ἅγιαι καὶ οὐκουμενικαὶ Σύνοδοι παρὰ πάντων ἀνωμολόγηνται, ὑφ' ὧν ἡ εὐσεβὴς καὶ ὀρθόδοξος ἡμῶν τῶν χριστιανῶν πίστις καὶ ἠρευνήθη καὶ ἐδιδάχθη καὶ τὸ στερέωμα καὶ τὸ κῦρος μετὰ πάσης πληροφορίας καὶ ἀποδείξεως εἴληφεν ἀναμφιλέ-

---

αθήκης Νο 366.

κτως καὶ καθαρῶς. Αὗταί εἰσιν αἱ ἑπτὰ τῆς τοῦ Θεοῦ Λόγου σοφίας στύλοι, ἐφ' ἧς τὸν ἑαυτῆς ἅγιον οἶκον, τὴν καθολικὴν καὶ οἰκουμενικὴν Ἐκκλησίαν, καλῶς ἐδομήσατο. Ταύταις ταῖς ἱεραῖς ἁγίαις καὶ οἰκουμενικαῖς ἑπτὰ συνόδοις πάντες οἱ πρόεδροι καὶ διάδοχοι τῆς τοῦ κορυφαίου τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων Πέτρου καθέδρας ὁμοφρόνως ἐπηκολούθησαν καὶ ὁμοφώνως συνήνεσαν, οἱ μὲν αὐτοπροσώπως παρόντες καὶ συναινοῦντες τοῖς πραττομένοις καὶ τοῖς λεγομένοις συμψηφιζόμενοι, οἱ δὲ τοὺς οἰκειοτάτους καὶ ὁμοδόξους αὐτοῖς ἀποστέλλοντες καὶ δι' αὐτῶν συμπράττοντες καὶ πᾶσιν ἁπλῶς ἐκ τῆς ἀποστολικῆς καὶ θείας καθέδρας βεβαίως ἐπισφραγίζοντες. Συνήνεσαν οὖν ἐν μὲν τῇ πρώτῃ ἁγίᾳ καὶ οἰκουμενικῇ Συνόδῳ Σίλβεστρος, ἐν δὲ τῇ δευτέρᾳ Δάμασος, ἐν δὲ τῇ τρίτῃ Κελεστῖνος, τῆς δὲ τετάρτης ἁγίας καὶ οἰκουμενικῆς Συνόδου ὁ ἁγιώτατος καὶ ἀοίδημος Πάπας Λέων ὑπῆρχε τὸ στήριγμα καὶ τὴν τούτου ἁγίαν καὶ σοφωτάτην ἐπιστολήν, ἣν πρὸς Φλαβιανὸν ἐποιήσατο, στήλην ὀρθοδοξίας ὠνόμασαν ἅπαντες ὅσοι κατὰ τὸν χρόνον ἐκεῖνον ἐν τῇ Συνόδῳ διέλαμπον, ἐν δὲ τῇ πέμπτῃ παρῆν ὁ Βιγίλιος, ἐν δὲ τῇ ἕκτῃ Ἀγάθων συνήνεσεν, ἀνὴρ τίμιος καὶ τὰ θεῖα σοφός, ἐν δὲ τῇ ἑβδόμῃ ἁγίᾳ καὶ οἰκουμενικῇ Συνόδῳ ὁ ἁγιώτατος Πάπας Ἀδριανὸς συναινεῖ καὶ συμφθέγγεται διὰ τῶν ἀποσταλέντων παρ' αὐτοῦ ἁγίων καὶ θεοφόρων ἀνδρῶν Πέτρου πρωτοπρεσβυτέρου καὶ Πέτρου ἄλλου τοῦ καθηγουμένου τῆς ἁγίου Σάββα Μονῆς τῆς κατὰ Ρώμην διακειμένης. Τούτων οὖν οὕτως ἐχόντων, πόθεν τὸ σχίσμα καὶ ὁ διασπασμὸς ὃ ἐν μέσῳ γεγένηται; τὶς οὖν ὃς τὰ τοιαῦτα καὶ τηλικαῦτα ζιζάνια πρῶτος τῇ Ρώμῃ ἐνέσπειρε; Πολλὰ γάρ εἰσιν ἃ παρ' ὑμῶν τολμᾶται καὶ πράττεται; ἐξ ὧν ὀλίγα τινὰ τῇ ἀγάπῃ σου ἐγράψαμεν. Πρῶτον μὲν οὖν τὴν τοῦ σαββάτου νηστείαν ἐκθέσμως τελεῖτε, ἔπειτα δὲ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα τῆς ἄλλης νηστείας ἀποτεμόντες καὶ περικόψαντες εἰς γαλακτοποσίας καὶ τυροῦ τροφὴν καὶ τὴν τῶν ὁμοίων ἀδηφαγίαν τοὺς λαοὺς καθέλκετε καὶ τοὺς νομίμῳ γάμῳ γυναιξὶ συνοικοῦντας ἱερεῖς ἀποστρέφεσθε καὶ μυσσάτεσθε, τοὺς ὑπὸ πρεσβυτέρων μύρῳ χρισθέντας ἀναμυρίζειν αὖθις τολμᾶτε ὡς οὐκ ἐξὸν ἱερεῦσιν ἀλλ' ἐπισκόποις τοῦτο ποιεῖν, ἐῶ λέγειν—τὸ τῶν ἀζύμων, ὃ φανερῶς ἐ-

στι τῆς ἰουδαϊκῆς λατρείας καὶ πίστεως· ἀλλ' ὅ γε πάντων ἐστὶ τῶν κακῶν κορυφὴ καὶ εἰς τοῦτο ἀναληλύθατε. Πρὸς γὰρ τοῖς εἰρημένοις ἀτοπήμασι καὶ τὸ ἱερὸν καὶ ἅγιον Σύμβολον, ὃ πᾶσι τοῖς συνοδικοῖς καὶ οἰκουμενικοῖς ψηφίσμασιν ἄμαχον ἔχει τὴν ἰσχὺν καὶ τὸ κράτος, ὑμεῖς καὶ τοῦτο νοθεύειν ἐπιχειρήσατε, τὸ Πνεῦμα τὸ ἅγιον οὐκ ἐκ τοῦ Πατρὸς μόνον, ἀλλὰ καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεσθαι καινολογήσαντες. Ταῦτα καὶ πλείω τούτων πολλῆς τῆς μερίμνης καὶ διορθώσεως χρήζουσι, καὶ χρὴ τὴν σὴν ἱερότητα πρὸς τὸν τῆς Κωνσταντινουπόλεως ἁγιώτατον Πατριάρχην καὶ σὸν ἀδελφὸν κατὰ πνεῦμα ἐπιστεῖλαι καὶ πᾶσαν σπουδὴν εἰσενέγκασθαι ὥστε λυθῆναι τὰ σκάνδαλα καὶ εἰς μίαν ἡμᾶς ἕνωσιν γενέσθαι καὶ συμφωνίαν πνευματικήν, καθὼς καὶ ὁ μακάριος Παῦλος παραινεῖ λέγων: «Παρακαλῶ δὲ ὑμᾶς, ἀδελφοί, διὰ τοῦ ὀνόματος τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ, ἵνα τὸ αὐτὸ λέγητε καὶ ὁμολογῆτε πάντες καὶ μὴ ᾖ ἐν ὑμῖν σχίσματα, ἦτε δὲ κατηρτισμένοι ἐν τῷ αὐτῷ νοΐ καὶ ἐν τῇ αὐτῇ γνώμῃ». Ἐξ δὲ ὄντων τῶν ἐγκλημάτων, τοσαῦτα γὰρ τέως ἐκ πλειόνων, ὧν περ ἠκούσαμεν ἐν τῷ πρὸς σὲ γράμματι ἐσημάναμεν, ἂν πράως δέχῃ καὶ μετ' ἐπιεικείας, ὕστερον καὶ περὶ τῶν ἄλλων διαληψόμεθα. Εἰ γὰρ ταῦθ' οὕτως ἔχει, ὥσπερ ἠκούσαμεν, ὦ ἱερὲ Πάπα, ἀκριβῶς ἴσθι καὶ πέπεισο ὅτι οἱ τῶν ἁγίων Ἀποστόλων κανόνες ἔτι δὲ καὶ οἱ τῶν ἁγίων καὶ οἰκουμενικῶν Συνόδων, οἷς οἱ ἀρχαῖοι τῆς παλαιᾶς Ῥώμης Πατριάρχαι συνήνεσαν, παραβαίνονται παρ' ὑμῶν, ὡς αὐτίκα λεχθήσεται. Κείσθω δὲ πρῶτον τὸ τῆς νηστείας τοῦ Σαββάτου ἁμάρτημα· καὶ γὰρ ὁ τῶν ἁγίων Ἀποστόλων τέταρτος καὶ ἑξηκοστὸς κανὼν τοὺς ἐν τοῖς σαββάτοις νηστείαν ἐπιτηδεύοντας ἰσχυρῶς μεμφόμενος καὶ τῆς Ἐκκλησίας ἐκβάλλων, οὕτω φησίν: Εἴ τις κληρικὸς εὑρεθῇ τὴν κυριακὴν ἡμέραν νηστεύων ἢ τὸ σάββατον, πλὴν τοῦ ἑνὸς μόνου, καθαιρείσθω, εἰ δὲ λαϊκὸς εἴη ἀφοριζέσθω. Ἀλλὰ μὴν καὶ τὸ δεύτερον αἰτίαμα τῆς τῶν Ἰακωβιτῶν καὶ Ἀρμενίων ὑπάρχει αἱρέσεως καὶ τῶν ὀρθοδόξων χριστιανῶν τελείως ἀπόβλητον, λέγω δὲ τὸ τυρὸν ἐσθίειν καὶ ᾠὰ ρο-

φεῖν καὶ γάλα πίνειν ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ Τεσσαρακοστῇ. Τίς γὰρ ἂν χριστιανὸς τοιαῦτα τολμήσειεν ἢ πράξειεν, ἢ ὅλως ἐνθυμηθείη; καὶ γὰρ καὶ τοῦτο τῶν εὐσεβῶν ἀπόβλητον. Καὶ ἀνάγνωθι κανόνα ἕκτον καὶ πεντηκοστὸν τῆς ἁγίας καὶ οἰκουμενικῆς ϛ´ Συνόδου, ταύτῃ δὲ Ἀγάθων ὁ ὑμέτερος Πάπας συνήνεσεν. Ἄκουε τοίνυν τοῦ κανόνος αὐτοῦ: « Ὡσαύτως μεμαθήκαμεν καὶ ἐν τῇ τῶν Ἀρμενίων χώρᾳ καὶ ἐν ἑτέροις τόποις ἐν τοῖς σάββασι καὶ ἐν ταῖς κυριακαῖς τῆς ἁγίας Τεσσαρακοστῆς τῶν νηστειῶν ἡμέραις ὠὰ καὶ τυρὸν ἐσθίειν τινάς. Ἔδοξε τοίνυν . . . ». Τρίτον ἔγκλημα τὸ περὶ τῶν ἱερέων ἐστίν, ὅτι βδελύττεσθε τὸ ἀπὸ χειρῶν τούτων κοινωνίας μεταλαμβάνειν. Ἄκουε τοίνυν τὶ καὶ περὶ τούτου τοῦ κεφαλαίου λέγει ἡ ἁγία καὶ εὐσεβὴς σύνοδος τῶν ἐν Γάγρᾳ συνεληλυθότων ἁγίων καὶ θεοφόρων Πατέρων. Περιέχεται τοίνυν ἐν τῷ τετάρτῳ κανόνι καὶ θεσπίσματι τῶν τοιούτων ταῦτα: « Εἴ τις διακρίνοι τὸ παρὰ πρεσβυτέρου γεγαμηκότος ὡς μὴ χρῆναι λειτουργήσαντος αὐτοῦ προσφορᾶς μεταλαμβάνειν, ἀνάθεμα ἔστω. Ὡσαύτως δέ . . . ». Τέταρτον ἁμάρτημα ὁ ἀναμυρισμὸς τῶν ἤδη βεβαπτισμένων καὶ μεμυρισμένων. Πῶς γὰρ καὶ τοῦτο οὐκ ἄτοπον τοῦ ἱεροῦ Συμβόλου τῆς πίστεως πάντοτε καὶ πανταχοῦ καὶ παρ᾿ ἑκάστου τῶν πιστῶν οὕτως ἐκφωνουμένου καὶ λεγομένου: ὁμολογῶ ἓν βάπτισμα εἰς ἄφεσιν ἁμαρτιῶν; Εἰ οὖν ἓν βάπτισμά ἐστι, καὶ ἓν ἄρα μύρον ἅγιον ἐπὶ τῷ αὐτῷ ὑπάρχει βαπτίσματι οὐ διῃρημένως καὶ ἐν ἑτέρῳ καιρῷ, ἀλλ᾿ ἐν τῷ αὐτῷ μετὰ τῶν ἱερέων ὁμοίως καὶ τῶν ἐπισκόπων ἐπιτελούμενον. Πέμπτον ἀτόπημα ὑμῶν ἐστι τὸ τῶν ἀζύμων, ὃ ἐκ πολλῶν αἱρέσεων τὴν ἀρχὴν καὶ τὴν ῥίζαν, ὡς ἀποδείξομεν, εἴληφεν. Ἀλλ᾿ ἐπειδὴ τοῦτο τὸ ζήτημα πολλῶν λόγων καὶ ἀποδείξεων ὑπάρχει δεόμενον, ἐν ἑτέρῳ καιρῷ σοι περὶ τούτου διαλεξόμεθα. Νῦν δὲ τοσοῦτον λέγομεν μόνον, ὅτι τὰ ἄζυμα τοῖς Ἑβραίοις ἐπιτελεῖται εἰς ἀνάμνησιν τῆς ἐξ Αἰγύπτου φυγῆς· ἡμεῖς δὲ σπέρμα Χριστιανῶν ἐσμεν καὶ οὐδενὶ δεδουλεύκαμεν πώποτε Αἰγυπτίων τυράννῳ, ἀλλὰ καὶ τὰς τοιαύτας ἰουδαϊκὰς παρατηρήσεις, σαββατισμούς, λέγω, καὶ ἄζυμα καὶ περιτομὴν περι-

φρονεῖν ἐκελεύσθημεν· καὶ ὁ φυλάττων ἓν τῶν τοιούτων, ὡς φησὶν ὁ θεῖος Ἀπόστολος, ὀφειλέτης ἐστὶν ὅλον τὸν νόμον πληρῶσαι τὸν ἰουδαϊκόν. Τοῦ αὐτοῦ πάλιν Ἀποστόλου λέγοντος Παύλου: « Ἀδελφοί, ἐγὼ παρέλαβον ἀπὸ τοῦ Κυρίου ὃ καὶ παρέδωκα ὑμῖν, ὅτι ὁ Κύριος Ἰησοῦς ἐν τῇ νυκτὶ ᾗ παρεδίδοτο, ἔλαβεν ἄρτον, καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε, Λάβετε, φάγετε . . . ». Πρόσχες τῷ ρήματι· οὐκ εἶπε λαβὼν ἄζυμα, ἀλλὰ ἄρτον· ἐπεὶ κατὰ τὸν καιρὸν ἐκεῖνον οὐδὲ ἄζυμον ἦν, οὐδὲ Πάσχα ἐπετελεῖτο, οὐδὲ αὐτὸς ἤσθιε τότε τὸ νομικὸν Πάσχα, ἵνα ἄζυμον δῷ τοῖς μαθηταῖς, καὶ δῆλον ἐντεῦθεν, τὸ μὲν γὰρ πάσχα τὸ ἰουδαϊκὸν ἱσταμένων ἐπετελεῖτο· περὶ Αὐτοῦ δὲ φησὶν ἡ Γραφή, ὅτι ἀνέκειτο μετὰ τῶν δώδεκα, καὶ περὶ τοῦ μαθητοῦ, ὃς καὶ ἀνέπεσεν ἐν τῷ δείπνῳ ἐπὶ τὸ στῆθος Αὐτοῦ, καὶ αὐτὸς δέ φησιν: ἐπιθυμίᾳ ἐπεθύμησα τοῦτο τὸ πάσχα φαγεῖν μεθ' ὑμῶν. Ποῖον λέγω; τὴν τοῦ καινοῦ μυστηρίου παράδοσιν. Τὸ γὰρ ἰουδαϊκὸν πάσχα πάντα τὸν ἔμπροσθεν χρόνον ἤσθιεν Αὐτὸς καὶ οἱ μαθηταί. Πῶς οὖν ἐπεθύμησεν ὅπερ ἤσθιε; πῶς δὲ ἔλεγε τοῦτο; Ἐν γὰρ τῷ εἰπεῖν τοῦτο ἄλλο ἢ ἐκεῖνο τὸ ἰουδαϊκὸν ἐδήλωσε. Καὶ πάλιν: τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν, οὐκ εἶπεν ἐκεῖνο τῶν Ἑβραίων τὰ ἄζυμα, ἀλλὰ τοῦτον τὸν ἄρτον, ὃν δέδωκα ὑμῖν. Ὅτι δὲ ἄρτος ἦν ἀληθῶς καὶ οὐκ ἄζυμον σαφῶς ἀποδέδεικται. Ἀλλὰ καὶ περὶ τοῦ Ἰούδα φησίν: ᾧ βάψας τὸ ψωμίον ἐπιδώσω, αὐτός ἐστιν ὁ παραδιδούς με. Εἰ δὲ λέγετε διὰ τοῦτο ἄζυμον ἐπιτελεῖν διὰ τὸ ἀμιγὲς ἐνύλου παντὸς καὶ καθαρὸν τῆς θεότητος, λανθάνετε εἰς τὴν αἵρεσιν ἐμπίπτοντες τῶν ἀρχαίων αἱρετικῶν Οὐάλεντος καὶ Μάνεντος, ἔτι δὲ Ἀπολλιναρίου τοῦ Λαοδικέως καὶ Παύλου τοῦ Σύρου τοῦ Σαμοσατέως, Εὐτυχοῦς, Διοσκόρου, Σεβήρου, τῶν ἐπὶ τῆς ἁγίας ἕκτης Συνόδου ἀναφυέντων Μονοθελητῶν Σεργίου, Παύλου, Πύρρου καὶ τῶν σὺν αὐτοῖς. Ἐν τούτοις γὰρ ἅπασιν ὁμοίως ἐνέπνευσεν ὁ διάβολος καὶ πάντων σχεδὸν ἡ αἵρεσις μία ἀρνουμένη τὴν τελείαν ἐνανθρώπησιν καὶ καθ' ὑπόστασιν ἕνωσιν τοῦ ἑνὸς Σωτῆρος Χριστοῦ τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν. Ἀλλὰ περὶ μὲν τούτων, ὡς ἔφημεν, ἂν καὶ σοὶ βου-

λητὸν ἢ καὶ Θεῷ ἀρεστόν, ἐν ἑτέρῳ καιρῷ πλατύτερον λέξομεν, εἰ τὸ ζῆν ἡμῖν ἐν τῷδε τῷ βίῳ παρέχει ὁ τῆς ζωῆς χορηγός. Νῦν δὲ καὶ ἐπὶ τὸ ς΄ κεφάλαιον ἔλθομεν. Τοῦτο δέ ἐστιν ἡ περὶ τοῦ ἁγίου Πνεύματος βλασφημία, ὅτι λέγετε: Πιστεύομεν εἰς Πατέρα καὶ Υἱὸν καὶ τὸ Πνεῦμα τὸ ἅγιον τὸ ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον. Θαυμαστὸν γάρ, ἤ, μᾶλλον εἰπεῖν, φοβερόν, πῶς ἐτολμήσατε αὐτῶν ἐκείνων τῶν 318 ἁγίων πατέρων καὶ τῶν ἔκτοτε οἰκουμενικῶν ἁγίων Συνόδων τὴν πίστιν μεταποιῆσαι, ἥτις ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης ἐν πάσαις ταῖς τῶν χριστιανῶν Ἐκκλησίαις ὁμοφώνως ᾄδεται λεγόντων: Πιστεύομεν καὶ εἰς τὸ Πνεῦμα τὸ ἅγιον, τὸ κύριον, τὸ ζωοποιόν, τὸ ἐκ τοῦ Πατρὸς ἐκπορευόμενον, τὸ σὺν Πατρὶ καὶ Υἱῷ συμπροσκυνούμενον καὶ συνδοξαζόμενον. Διὰ τί οὖν οὐ λέγετε καὶ ὑμεῖς οὕτως ὡς πάντες οἱ Χριστιανοί, ἀλλὰ προσθήκας ἐπινοεῖτε καὶ νέας διδασκαλίας ἡμῖν εἰσάγετε, τοῦ Ἀποστόλου λέγοντος: «Εἴ τις ὑμᾶς εὐαγγελίζεται παρ᾽ ὃ παρελάβετε, ἀνάθεμα ἔστω», ὅπερ μὴ γένοιτο ἀκοῦσαι ὑμᾶς· φοβερὸν γὰρ ἀληθῶς τὸ ἰῶτα ἓν ἢ μίαν κεραίαν ἢ συλλαβὴν ἐξαλλάττειν καὶ μεταποιεῖν τῆς θείας Γραφῆς. Ἢ οὐκ οἴδατε, ὅτι τὸ τοιοῦτον μέγα σκάνδαλόν ἐστι; δοκεῖτε γὰρ δύο αἴτια καὶ ἀρχὰς δύο ἐπὶ τοῦ ἁγίου Πνεύματος εἰσάγειν, ὑποβιβάζοντες αὐτοῦ τὴν ἀξίαν καὶ καθαιροῦντες, καὶ εἰς τὴν Μακεδονίου τοῦ πνευματομάχου αἵρεσιν κινδυνεύοντες ἐμπεσεῖν, ὅπερ ἀπείη. Παρακαλῶ οὖν καὶ δέομαι καὶ προσπίπτω τοῖς ἱεροῖς ἴχνεσί σου διαναστῆναί σε περὶ τούτων ἁπάντων, ἐξαιρέτως δὲ περὶ τῶν ἀζύμων καὶ περὶ τοῦ παρόντος ζητήματος, ὅτι τὸ μὲν περὶ τὴν ἁγίαν κοινωνίαν, τὸ δὲ περὶ τὴν ὀρθὴν πίστιν ἔχει τὸν κίνδυνον. Ἐβουλόμην καὶ περὶ τῶν πνικτῶν καὶ τῶν ἀκαθάρτων ζώων γράψαι σοι καὶ περὶ τῶν μοναχῶν τῶν ἐσθιόντων τὸ κρέας, ἀλλὰ ταῦτα εἰς ὕστερον καὶ τὰ ὅμοια τούτοις, ἄνπερ, δώῃ Θεός, καὶ τὰ μείζονα διορθώσητε. Σὺ δὲ σύγγνωθί μοι διὰ τὸν Κύριον ἐξ ἀγάπης πολλῆς τὰ τοιαῦτά σοι γράψαντι. Καὶ εἰ ἀληθῶς, ὡς ἠκούσαμεν, παρ᾽ ὑμῖν πράττεται ταῦτα, ἐρευνᾶτε τὰς Γραφὰς καὶ εὑρήσετε ταῦτα πάντα δεόμενα

διορθώσεως. Καὶ παρακαλῶ τὴν ἐν Κυρίῳ ἀγάπην σου ἐν πρώτοις μέν, εἰ κελεύεις, γράψαι πρὸς τὸν ἁγιώτατον Πατριάρχην ἡμῶν τὸν Κωνσταντινουπόλεως καὶ τοὺς ἐκεῖσε ἁγιωτάτους Μητροπολίτας, οἳ λόγον ζωῆς ἐπέχουσιν ὡς φωστῆρες ἐν τῷ κόσμῳ λάμποντες, καὶ δυνατοί εἰσι Θεοῦ χάριτι τὰ τοιαῦτα καὶ συζητεῖν σοι καὶ διορθοῦσθαι· ἔπειτα δὲ εἰ ἀρεστόν ἐστί σοι ἐν ὑστέρῳ γράψεις καὶ τῷ ἐλαχιστοτέρῳ πάντων ἐμοί. Προσαγορεύω σοι τὴν ἐν Κυρίῳ ἀγάπην ἐγὼ Ἰωάννης, ὁ ἐλάχιστος Μητροπολίτης Ῥωσσίας, καὶ πάντα τὸν ὑπὸ σὲ κλῆρόν τε καὶ λαόν· προσαγορεύουσιν ὑμᾶς μεθ' ἡμῶν καὶ οἱ σὺν ἡμῖν ἁγιώτατοι καὶ θεοφιλέστατοι Μητροπολῖται πάντες καὶ καθηγούμενοι καὶ ὁ σὺν ἡμῖν εὐσεβὴς κλῆρός τε καὶ λαός».

6] Ἰωάννου Μητροπολίτου Ῥωσσίας, τοῦ ἐπικληθέντος προφήτου τοῦ Χριστοῦ, ἐκκλησιαστικὸς κανών, γραφεὶς διὰ τὸν μοναχὸν Ἰάκωβον, καὶ πολλοῦ ἄξιος ἕνεκα τῶν ἐν αὐτῷ πολλῶν εἰδήσεων περὶ τῆς καταστάσεως τῆς θείας λατρείας, τῆς διδασκαλίας καὶ τοῦ βίου τοῦ χρόνου ἐκείνου.

Ἐκλεγόμεθα δύο κανόνας ἀφορῶντας εἰς τὰς πρὸς τὸν παπισμὸν σχέσεις τῆς ὀρθοδοξίας.

Καν. Δ'. «Τοῖς λειτουργοῦσιν ἐν ἀζύμοις, ἐσθίουσι κρέας κατὰ τὴν ἑβδομάδα τῆς Τυροφάγου, ἐσθίουσιν αἷμα καὶ θνησιμαῖον, οὐ δεῖ κοινωνεῖν (τῶν ἁγίων μυστηρίων) καὶ ἐπιτελεῖν μετ' αὐτῶν τὴν θείαν λατρείαν. Ἀλλ' οὐδαμῶς ἀπαγορεύεται τὸ συνεσθίειν αὐτοῖς κατὰ τὰς περιστάσεις διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ. Ἐάν τις θέλῃ ἐν καθαρότητος πλάσματι ἢ ἕνεκα ἀσθενείας ἀποφεύγειν καὶ τοῦτο, ἀφιστάσθω· ἀλλ' ὁρᾶτε μὴ προέλθῃ ἐκ τούτου σκάνδαλον ἢ ἀναγεννηθῇ ἰσχυρὰ ἔχθρα καὶ μνησικακία. Προτιμητέον τὸ ἔλασσον κακὸν τοῦ μείζονος». Ἐξαίρετος κανών! ἀποστολικὸς κανών!

Καν. Ε'. Τοὺς ἐν τῇ ῥωσσικῇ γῇ, κατὰ τοὺς λόγους σου οὐ μεταμβάνοντας τῶν μερίδων (παρὰ τῷ Ἑρβερστενίῳ—qui in azymis celebraverint) καὶ κατὰ τὴν μεγάλην Τεσσαρακοστὴν ἐσθίοντας κρέας δεῖ παντὶ τρόπῳ διορθοῦν καὶ ἐπέχειν τὴν ἁμαρτίαν αὐτῶν,

παραινέσει καὶ διδασκαλίᾳ ἐπιστρέφειν εἰς τὴν ὀρθοδοξίαν, καὶ δεικνύναι αὐτοῖς, ὅτι βαπτιστέον αὐτοὺς διὰ τῆς καταδύσεως ὡς μὴ χριστιανούς, ὅπως διὰ τούτου τοῦ φόβου ἀποστῶσι τῆς πλάνης αὐτῶν καὶ ἀσπάσωνται τὴν εὐσεβῆ πίστιν. Τοῖς δὲ ἐμμένουσι τῇ πλάνῃ αὐτῶν καὶ μὴ ἀσπαζομένοις τὴν εὐσεβῆ πίστιν οὐ δεῖ διδόναι τὴν θείαν μετάληψιν, ἀλλ' ὡς ἑτεροφύλους καὶ ἐχθροὺς τῇ πίστει ἡμῶν ἀφιέναι τῇ θελήσει αὐτῶν» (1).

Οἱ ἄλλοι κανόνες τοῦ Μητροπολίτου ἔχουσι τὰς ἑξῆς ἐννοίας:

α] Κατὰ τῆς μαγείας καὶ τῶν ἐθνικῶν ἐθίμων (καν. ζ' ις').

β] Κατὰ τῶν σκανδαλωδῶν ᾀσμάτων (καν. ιζ' κή).

γ] Κατὰ τῆς δουλεμπορείας (καν. κδ').

δ] Περὶ τοῦ συντρώγειν τοῖς ἐθνικοῖς (καν. κ' λά).

ε] Περὶ τῆς ἀγωγῆς τῶν ἱερέων (καν. ιγ' ιέ λς' λζ').

ζ] Περὶ συναθροίσεως ἐπισκόπων εἰς σύνοδον (καν. λδ').

η] Περὶ συστάσεως νέων ἐπαρχιῶν καὶ περὶ τῶν ὁρίων τῆς ἐπισκοπικῆς ἐξουσίας (καν. ή ιθ').

θ] Περὶ τοῦ βαπτίσματος τῶν νηπίων καὶ περὶ μεταλήψεως (καν. ά β' κά).

ι] Περὶ γάμων (καν. ς' ί ιή κβ' κγ' κέ—κζ' κγ').

κ] Περὶ εἰκόνων καὶ περὶ ναοῦ (καν. θ' ιά ιβ').

λ] Κατὰ τῶν καθιστάντων συμπόσια ἐν ταῖς μοναῖς ἐν εὐσεβείας πλάσματι (καν. λά).

μ] Περὶ τῶν γυναικῶν, αἵτινες ἦσαν ἐν αἰχμαλωσίᾳ (καν. κθ' λ').

§. 305. Θεοφύλακτος ὁ Βουλγαρίας.

Θεοφύλακτος Ἀρχιεπίσκοπος τῆς ἐν Βουλγαρίᾳ Ἀχρίδος, Κωνσταντινουπολίτης τὸ γένος, ἤκμασεν ἐπὶ τῶν ἐκ τοῦ οἴκου Δούκα καὶ Κομνηνοῦ Αὐτοκρατόρων, ὅτε ἡ Βουλγαρία ὑπέκειτο τῇ ἑλληνικῇ αὐτοκρατορίᾳ. Πρὸς τὸν Πορφυρογέννητον Κωνσταντῖνον, υἱὸν τοῦ Αὐτοκράτορος Μιχαὴλ καὶ τῆς Αὐτοκρατείρας Μαρίας ἔγραψε

(1) Ἀμφότεροι οἱ κανόνες οὗτοι μετεφράσθησαν ἐκ τοῦ ρωσσικοῦ. Σ. Μ.

παιδείαν βασιλικήν (1). Ἐν μιᾷ τῶν ἐπιστολῶν αὐτοῦ καταδείκνυσι τῷ υἱῷ τοῦ Σεβαστοκράτορος μεθ' ἡλίκης ἀγάπης ὁ ἡγεμὼν τῆς Βουλγαρίας Βορίσης ἐμερίμνησε περὶ τῆς οἰκοδομῆς καὶ τοῦ στολισμοῦ τῶν ἱερῶν ναῶν, καὶ προτρέπει αὐτὸν ἀνακαινίσαι ἕνα αὐτῶν κατεδαφισθέντα ὑπὸ τοῦ ἑλληνικοῦ πολέμου (2). Ἐκ τῶν πρὸς τὴν Αὐτοκρατεῖραν Μαρίαν ἐπιστολῶν αὐτοῦ δῆλον, ὅτι καὶ οἱ τότε Βούλγαροι, ἰδίως δ' οἱ κάτοικοι τῆς Ἀχρίδος, οὐχ οὕτως ἔζων, ὥστε μὴ ἀναγκάζειν τὸν μεριμνητικὸν ποιμένα πάνυ λυπεῖσθαι ἐπὶ τοῖς ἤθεσιν αὐτῶν. Ὁ Θεοφύλακτος παρεκάλεσε τὴν Αὐτοκρατεῖραν ἀπαλλάξαι αὐτὸν τοῦ βαρέος ζυγοῦ, οἷος ἦν αὐτῷ ἡ κυβέρνησις τῆς βουλγαρικῆς Ἐκκλησίας, ἀλλ' ἠναγκάσθη μεῖναι φύλαξ αὐτῆς (3). Ἐν ᾧ ἐμερίμνα παντὶ σθένει περὶ τῆς εἰρήνης καὶ τῆς εὐημερίας τοῦ ἐμπιστευθέντος αὐτῷ ποιμνίου, διέβαλον αὐτὸν ἐν Κωνσταντινουπόλει ὡς κτησάμενον ἐν Βουλγαρίᾳ ὑπέρμετρον πλοῦτον (4). Ἐκ τοῦ λόγου, ὃν ἐξεφώνησε τῷ Αὐτοκράτορι Ἀλεξίῳ τῷ Κομνηνῷ (τῷ 1081) καὶ ἐκ τῆς πρὸς τὸν Πατριάρχην Νικόλαον τὸν Γραμματικὸν ἐπιστολῆς (τῷ 1085) (5) δῆλον, ὅτι ἐτελεύτησεν οὐ πρὸ τοῦ 1085.

Ἰωάννης ὁ Εὐχαΐτων ἐτίμησε τὸν Θεοφύλακτον ἐπιγράμματι.

(1) Πρὸς τὸν αὐτὸν ἐγράφησαν δύο ἐπιστολαί, ἡ ξγ´ καὶ ἡ ξδ´ καὶ πρὸς τὸν ἀνεψιὸν τοῦ Αὐτοκράτορος Ἰωάννην τὸν Δοῦκαν ἐγράφη ἡ κγ´ ἐπιστολή.

(2) Ἐπιστ. ις´ « . . . Δέομαι οὖν καὶ προσπίπτω διὰ τοῦ παρόντος γράμματος ὥσπερ σώματος, ὡς ἂν ἐλεήσῃς τὴν ἥν ὅτε ὀλβιωτάτην Ἐκκλησιῶν, ἣν ὁ χριστιανικώτατος ἐκεῖνος Βορίσης ὁ Βουλγαρίας βασιλεύς, μίαν καὶ αὐτὴν τῶν ἑπτὰ καθολικῶν, ἐδομήσατο. Ἐκεῖνος ἔκτισε, σὺ δὲ ἐγκαίνισον, ἵνα σοὶ καὶ πνεῦμα εὐθὲς ἐν τοῖς ἐγκάτοις σου ἐγκαινισθείη παρὰ Θεοῦ, τοῦ τὴν πεπτωκυῖαν ἡμῶν σκηνὴν καὶ φύσιν ἀναστήσαντος καὶ καινήσαντος».

(3) Ἐπιστ. ά.

(4) Ἐν τῇ ογ´ ἐπιστολῇ τῷ ἰατρῷ τοῦ βασιλέως Μιχαὴλ τῷ Παντέχνῃ, καλέσας ἑαυτὸν ἐπίσκοπον ἁπάσης Βουλγαρίας, ἐπάγει: « . . . ὃν ὅσοι περ ὁρῶσι τε καὶ ἀκούουσιν, οἴονται μεδίμνοις ἐκμετρεῖσθαι τοὺς χρυσίνους ἑκάστης ἡμέρας . . . »

(5) Ἐπιστ. Γ´ τῷ Πατριάρχῃ Κυρίῳ Νικολάῳ.

Ὁ μακάριος ποιμὴν τῆς Βουλγαρίας, ἐπὶ ὑψηλῇ παιδείᾳ διαπρεπής (1), ἐστὶ γνωστὸς κατ᾽ ἐξοχὴν ἐκ τῶν ἑρμηνειῶν αὐτοῦ. Ὁ ἑρμηνευτὴς τοῦ Εὐαγγελίου Θεοφύλακτος ὁ ἅγιος, ὡς ἀποκαλεῖ αὐτὸν ὁ Ρωστοβίας ἱεράρχης Δημήτριος (2), ἔγραψεν ἑρμηνείας: α] εἰς τὰ τέσσαρα Εὐαγγέλια· β] εἰς τὰς Πράξεις τῶν Ἀποστόλων· γ] εἰς ἁπάσας τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου· δ] εἰς τὰς Καθολικὰς ἐπιστολάς· ε] εἰς τὰ ιά ἑωθινὰ Εὐαγγέλια· ς] εἰς τοὺς Προφήτας Ὠσηέ, Ἀββακούμ, Ἰωνᾶν, Ναοὺμ καὶ Μιχαίαν (3). Ἐν ταῖς ἑρμηνείαις ὁ Θεοφύλακτος παρακολουθεῖ κατ᾽ ἐπιτομὴν τῷ θείῳ Χρυσοστόμῳ, ἀλλὰ δίδωσι καὶ ἰδίας ἑρμηνείας, χρῆται δὲ μάλιστα τοιαύταις τοῦ κειμένου ἀναγνώσεσιν, αἳ οὐκ ἀπαντῶσι παρὰ τῷ Χρυσοστόμῳ. Αἱ εἰς τὰς ἐπιστολὰς τοῦ Ἀποστόλου Παύλου ἑρμηνεῖαι τοῦ Θεοφυλάκτου εἰσὶν αἱ ἁπασῶν ἄρισται.

Ἄλλα αὐτοῦ συγγράμματα: Λόγος εἰς τὴν προσκύνησιν τοῦ τιμίου Σταυροῦ ἐν τῷ μεσονηστίμῳ, οέ ἐπιστολαί, παιδεία βασιλικὴ πρὸς τὸν Πορφυρογέννητον Κωνσταντῖνον, καὶ προσλαλιά τινι τῶν αὐτοῦ ὁμιλητῶν περὶ ὧν ἐγκαλοῦνται Λατῖνοι. Ἡ προσλαλιὰ αὕτη διαπρέπει ἐπὶ πνεύματι πρᾳότητος, οὐ κατὰ τὸ παράδειγμα τῶν κατὰ Λατίνων συγχρόνων ἐλέγχων. Ὁ Θεοφύλακτος ἡγεῖται μέγιστον σφάλμα τῶν Λατίνων τὴν ἐν τῷ Συμβόλῳ τῆς πίστεως καινοτομίαν, ἣν ἐποιήσαντο, ἀνακηρύττοντες τὸ Πνεῦ-

(1) Τοῦτο δῆλον πρὸς τοῖς ἄλλοις ἐκ τούτου ὅτι παράγει ἐν ταῖς ἐπιστολαῖς αὐτοῦ στίχους τοῦ Ὁμήρου (Ἐπ. έ ιή κς΄ νέ). Γνωστοὶ ἦσαν αὐτῷ ὁ Ἡσίοδος (ἐπ. ς΄), ἡ λύρα τοῦ Βοιωτοῦ, δηλ. ὁ Πίνδαρος (ἐπ. ή), τὸ περὶ ὕψους σύγγραμμα τοῦ Λογγίνου (ἐπ. ιή), ὁ σεμνὸς Θουκυδίδης (ἐπ. οά.), τὰ ποιήματα τοῦ Εὐριπίδου (ἐπ. ιθ΄), τοῦ Ἀριστοφάνους (ἐπ. κζ΄ ιθ΄).

(2) Συλλογ. τῶν συγγραμμάτων ἐκδοθ. ἐν Μόσχᾳ τῷ 1840. σελ. 381. 387.

(3) Ἅπασαι αἱ ἑρμηνεῖαι αὐτοῦ ἐξεδ. Op. omn. Theophylacti edita hactenus et inedita gr. et lat. Venet. 1754—63. T. I—IV.

μα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ ἐκπορευόμενον: «Ἔνθα, λέγει, καὶ ὁ κίνδυνος μέγιστος, τοῦτο μὴ διορθώσεως ἀξιούμενον, ὁ συγχωρῶν ἀσυγχώρητος, κἂν ἀπὸ τοῦ θρόνου τοὺς λόγους ποιῶνται, ὃν ὑψηλὸν ὑψηλοὶ προτιθέασι, κἂν τὴν τοῦ Πέτρου ὁμολογίαν προβάλλωνται, κἂν τὸν ἐπ' ἐκείνῃ μακαρισμὸν ἐπιφέρωσι, κἂν τὰς κλεῖς τῆς βασιλείας ἡμῖν ἐπισείωσιν· οἷς ὅσῳ τιμᾷν ἐκεῖνον δοκοῦσι, τοσοῦτον ἑαυτοὺς ἀτιμάζουσιν, ἃ ἐκεῖνος ἥδρασεν αὐτοὶ καταλύοντες καὶ τοὺς θεμελίους ὑποσπῶντες τῆς Ἐκκλησίας, ἣν ἐκεῖνος ἀνέχειν πιστεύεται». Οὐ μὴν ἀλλὰ καὶ ὡς πρὸς τοῦτο προστίθησιν, ὅτι οὐ δεῖ ἐρίζειν περὶ λέξεων, ἀλλ' ἀφορᾷν εἰς τὸ ἔργον, ὅτι ἀνάγκη προσέχειν μὴ προέρχηταί τι ἐκ τῆς πτωχείας τῆς γλώσσης, πρὸς δέ, ὅτι ἐν ταῖς ὁμολογίαις τῆς πίστεως αἰτητέον ἀκριβῆ ὁρισμόν. Μὴ λίαν, λέγει, ἐρίζωμεν πρὸς αὐτοὺς περὶ τῶν ἀζύμων, περὶ τῶν νηστειῶν, καὶ περὶ τῶν ἄλλων. Δεῖ ὑπομένειν τὸ κακὸν πρὸς πρόληψιν μείζονος, ἐᾷν ἐκεῖνο, ὅπερ ἀδύνατον μεταβαλεῖν, ἵνα μὴ διαρραγῇ ἡ κοινωνία τῆς ἀγάπης, δείκνυσθαι, κατὰ τὸ παράδειγμα τῶν Ἀποστόλων, τοῖς ἀσθενέσιν ἀσθενεῖς, καὶ ἀκολουθεῖν τῷ παραδείγματι τοῦ Σωτῆρος, ὃς ἔθηκε τὴν ψυχὴν Αὐτοῦ, ἵνα τὰ τέκνα τοῦ Θεοῦ τὰ διεσκορπισμένα συναγάγῃ εἰς ἕν, καὶ ποίμνη μία τῶν προβάτων ἁπάντων γένηται ὑφ' ἑνὶ ταττομένων ποιμένι καὶ διαφευγόντων πρὸ τῶν λύκων τὴν ἀνεπιστασίαν, οὐδὲν ἧττον ἐκείνων σπαράττουσαν, μᾶλλον δὲ κἀκείνους αὐτὴν πρὸς τὸν τῆς ποίμνης σπαραγμὸν ἐνισχύουσαν (¹).

§. 306. Ἰωάννης ὁ Μαυρόπους·

Ἰωάννης ὁ ἐκ τοῦ χρώματος τῶν ποδῶν Μαυρόπους ἐπικληθεὶς ἦν Μητροπολίτης Εὐχαΐτων. Ἐκ τῶν συγγραμμάτων αὐτοῦ γίγνεται δῆλον, ὅτι ἔλαβε τὴν κλασικὴν παίδευσιν τοῦ χρόνου αὐτοῦ. Γνωστὸν ἐπ' ἴσης, ὅτι ἐπαιδεύθη τοὺς ἀσκητικοὺς ἄθλους ὑπὸ τοῦ Ἀββᾶ Δωροθέου ἐν Χιλιοκώμῳ τῆς Τραπεζοῦντος (²). Ἕνεκα

(¹) Ἐξεδόθη ὑπὸ Μιγγαρελίου in Anecdot. fasciculo. 1756.

(²) Τὸν βίον τοῦ ὁσίου τούτου περιέγραψεν ὁ Ἰωάννης, διδάσκαλον αὐτοῦ ἀποκαλῶν τὸν Μαυρόποδα. Ὁ βίος οὗτος ἐξεδόθη in Act. Sanctor.

τῆς ἐν τοῖς γράμμασι προκοπῆς αὐτοῦ προσεκλήθη εἰς Κωνσταντινούπολιν (τῷ 1050), ἵνα γένηται λογοδιδάσκαλος· οὕτω δ' ἤρεσκον αὐτῷ αἱ περὶ τοὺς λόγους ἀσχολίαι, ὥστε ἐπεθύμει περιορίσαι ἅπαντα αὐτοῦ τὸν βίον μόνον ἐν τῇ παιδεύσει τῆς νεολαίας (1). ἐπὶ τοῦ Αὐτοκράτορος Ἀλεξίου τοῦ Κομνηνοῦ, γεγονὼς ἤδη ἡλικίας πρόσω (2), προὐχειρίσθη Μητροπολίτης. Τὸ ἀξίωμα τοῦτο ἔχων, παρεγένετο ἐν τῇ κατὰ τὸ 1092 ἐπὶ τοῦ Π. Νικολάου συγκροτηθείσῃ Συνόδῳ (3). Ἐπὶ τοῦ αὐτοῦ Αὐτοκράτορος ἐδόξασεν αὐτὸν ὁ Κύριος ἰδίᾳ ἀποκαλύψει. Οἱ ἀπερίσκεπτοι θαυμασταὶ Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου, καὶ Ἰωάννου τοῦ Χρυσοστόμου δεινῶς ἤριζον ἀλλήλοις περὶ τοῦ τίνι τῶν τριῶν ἱεραρχῶν ἀπονεμητέον τὸ πρωτεῖον τῆς τιμῆς. Οἱ μὲν ὑπερετίθεντο τῶν ἄλλων

T. I. p. 615—624.

(1) Ἐν τῷ ᾄσματι εἰς τὰς Δεσποίνας δέεται ὑπὲρ τῆς σωτηρίας τοῦ Μονομάχου, τῆς Ζωῆς καὶ τῆς Θεοδώρας. Ἐν ἑτέρῳ ἐπολοφύρεται τὸν θάνατον τοῦ Μονομάχου, καὶ περαιτέρω γράφει:

» Πλὴν ἀλλ' ἄγοις οὕτω με, καὶ φέροις, Λόγε,
» Ἄτρεπτον, ἀκλόνητον, ἡδραιωμένον,
» Εἴσω μένοντα τῶν τεταγμένων ὅρων,
» Ὡς ἄνθεσι μέλισσαν ἐν βίβλοις στρέφων
» Ὡς τέττιγα δρόσῳ με τοῖς λόγοις τρέφων,
» Μόνοις τε πείθων τοῖς παροῦσιν ἐμμένειν,
» Καὶ μηδὲν αἰτεῖν ἄλλο πλὴν σωτηρίας.

(2) Εἰς τὴν μομφὴν φίλου διὰ τί βούλεται κρύψαι τὸν λύχνον ἐν τῇ γωνίᾳ, ἀποκρίνεται:

» Τί τοῦτο φής, ἄνθρωπε; πῶς λαλεῖν λύχνον
» Τὸν οὐκ ἔχοντα τὸ προσῆκον φῶς λύχνῳ;
» Ἦν λύχνος οἶδα, καὶ γὰρ οὐκ ἀρνητέον·
» Ἀλλ' εἰς τροφὴν ἔλαιον ἀρκοῦν οὐκ ἔχων
» Ἐψυγμένην δείκνυσι τὴν θρυαλλίδα,
» Ἧς τῷ μαρασμῷ καὶ τὸ τοῦ φωτὸς σέλας
» Ἀμυδρὰ φαίνων οὐκ ἔχει λαμπηδόνα.
» Συνασθενεῖ γὰρ καὶ λόγος τῷ σαρκίῳ,
» Ὥσπερ παθούσῃ μουσικὸν μέλος λύρᾳ.

(3) Jus Græcoroman. lib. III. p. 215.

δύο τὸν Βασίλειον, διὰ τὸ εὐσταθὲς τοῦ πνεύματος καὶ τὸ ὀρθὸν τῆς κρίσεως· οἱ δὲ ἀπένεμον τὸ πρωτεῖον τῷ Γρηγορίῳ διὰ τὸ ὕψος καὶ τὸ βάθος τῆς θεολογίας· ἄλλοι δὲ κατεθέλγοντο ὑπὸ τῆς εὐφραδείας τοῦ Χρυσοστόμου καὶ τῆς πρὸς τοὺς ἁμαρτωλοὺς ἀγάπης αὐτοῦ. Ἐντεῦθεν δὲ συνέβη διαιρεθῆναι τὰ πλήθη, καὶ τοὺς μὲν καλεῖσθαι Ἰωαννίτας, τοὺς δὲ Βασιλείτας, Γρηγορίτας δὲ τοὺς λοιπούς. Οἱ οὐρανοπολῖται ἐπιφανέντες τῷ ἐπιγείῳ τῶν Εὐχαΐτων ποιμένι τὸ μὲν πρῶτον καθ' ἕνα, εἶτα δὲ καὶ ἅμα, ὕπαρ οὐκ ὄναρ, εἶπον πρὸς αὐτόν: «Ἡμεῖς ἕν ἐσμεν, ὡς ὁρᾷς, παρὰ τῷ Θεῷ, καὶ οὐδὲ ἡμῖν ὑπεναντίον, οὐδὲ μάχιμον, ἀλλὰ καιροῖς ἰδίοις ἕκαστος, τῷ θείῳ κρουόμενοι πνεύματι, τὰς πρὸς σωτηρίαν τῶν ἀνθρώπων διδασκαλίας συνεγραψάμεθα, καὶ ἃ ἐμυούμεθα, ἐκδεδώκαμεν· καὶ ὁ πρῶτος ἐν ἡμῖν οὐκ ἔστιν, οὔτε μήν γε ὁ δεύτερος· ἀλλ' εἰ τὸν ἕνα λέξεις, οἱ δύο παρέπονται. Ὅθεν κέλευε ἀναστὰς τοῖς στασιάζουσιν ὑπὲρ ἡμῶν μὴ διΐστασθαι· σπουδὴ γὰρ καὶ ζῶσι καὶ μεταστᾶσιν ἡμῖν εἰρηνεύειν καὶ εἰς ὁμόνοιαν ἄγειν τὰ πέρατα. Ἀλλὰ καὶ ἡμέρᾳ μιᾷ σύναψον, καὶ ὡς σοὶ προσῆκον, τὰ τῆς ἑορτῆς ἡμῖν ἐπιτέλεσον, καὶ τοῖς ἑξῆς παράδος, ὡς ἡμεῖς ἕν ἐσμεν τῷ Θεῷ. Πάντως δὲ καὶ ἡμεῖς τοῖς ἐκτελοῦσι τὴν μνήμην καὶ εἰς σωτηρίαν συμπράτομεν· δοκοῦμεν γάρ τι καὶ ἡμεῖς ἔχειν παρὰ τῷ Θεῷ» (1). Ἡ θέλησις τῶν Ἱεραρχῶν ἐπληρώθη τῇ ἀποφάσει τοῦ ἑορτάζεσθαι τὴν μνήμην αὐτῶν τῇ λ΄ Ἰανουαρίου. Ὁ ποιμὴν τῶν Εὐχαΐτων κατέλυσε τὸν βίον οὐ μετὰ τὸ 1095, διότι πρὸ τούτου τοῦ ἔτους ἦν ἤδη γνωστὸς ἐκ τῶν συγγραμμάτων καὶ προβεβηκὼς τὴν ἡλικίαν ἐδέξατο τὴν ποιμαντικὴν ῥάβδον.

Ὁ ἄγνωστος συγγραφεὺς τοῦ ὑπομνήματος περὶ τοῦ ἐν ἁγίοις Πατρὸς ἡμῶν Ἰωάννου Μητροπολίτου Εὐχαΐτων γράφει περὶ τούτου τοῦ ποιμένος: «Ἀνὴρ δὲ σοφώτατος καὶ ἁγιώτατος ὤν, συνέγραψε πλείους τῶν λόγων, καὶ ἐπιστολὰς καὶ στίχους ἰαμβικούς, καὶ ἄλλα πολλὰ λόγου καὶ χάριτος ἄξια, καὶ πολλοὺς τῶν ἀνθρώπων ἐξεπαίδευσεν, ὢν πεπληρωμένος τῆς

(1) Ἡ περὶ τούτου ἑλλην. διήγησις in Act. Sanctor. ad 14 Junii p. 933—35

τοῦ Ἁγίου Πνεύματος χάριτος » [1]. Ἐκ τῶν χειρογράφων μᾶλλον, ἢ ἐκ τῶν ἐκδόσεων γνωστά εἰσι τὰ ἑξῆς συγγράμματα τοῦ ποιμένος τῶν Εὐχαΐτων:

1) Ἐγκωμιαστικοὶ λόγοι τὸν ἀριθμὸν 15, ἐν οἷς πολλοῦ ἄξιοι: α] δύο λόγοι εἰς μνήμην τῆς κατὰ τοῦ ἡγεμόνος τῶν Ρώσσων Σβιατοσλάβου νίκης· β] τρεῖς λόγοι εἰς τὴν μνήμην τοῦ ἁγ. Μ. Θεοδώρου τοῦ Τίρωνος, οὗ τὰ λείψανα ἦσαν ἐν τῇ πόλει Εὐχαΐτοις, ἀπεχούσῃ ἡμέρας ὁδὸν ἀπὸ Ἀμασείας τῆς ἐν τῷ Πόντῳ. Κατὰ τὴν μαρτυρίαν τοῦ Ζωναρᾶ, ὁ Τζιμισκῆς « ναὸν αὐτῷ (τῷ Μ. Θεοδώρῳ) κατὰ τὴν Εὐχάνειαν, ἢ Εὐχάϊτα, περικαλλῆ ἐδομήσατο, τὸν πρώην καταβαλών, ἐν ᾧ τὸ πολύαθλον ἐκείνου σῶμα κατέθετο, καὶ τὴν πόλιν ἀντὶ τῆς προτέρας αὐτῆς κλήσεως Θεοδωρούπολιν ἐπωνόμασε» πρὸς μνήμην τῆς κατὰ τοῦ Σβιατοσλάβου νίκης· γ] λόγος ἐγκωμιαστ. εἰς τοὺς τρεῖς ἱεράρχας [2].

2) Ὁ μακάριος Μητροπολίτης ἔγραψε στίχους [3] καὶ πολλοὺς ἐκκλησιαστικοὺς ὕμνους. Ἐκ τοῦ ἀριθμοῦ τῶν τελευταίων πλήρης ἡ Ἀκολουθία τοῖς τρισὶν Ἱεράρχαις [4], ὁ κανὼν εἰς τὸν Ἄγγελον Φύλακα καὶ δύο κανόνες εἰς τὸν ἅγιον Θεόδωρον τὸν Τίρωνα [5], μένουσιν ἄχρι τοῦ νῦν ἐν χρήσει ἐν ταῖς ἐκκλησιαστικαῖς Ἀκολουθίαις,

(1) Ἐν τῷ βιεν. χειρογρ. cod. theolog. 211.

(2) Τοὺς λόγους τοῦ Μητροπολίτου ἀπαριθμοῦσιν ὁ Οὐδῖνος in Comment. Litt., καὶ ὁ Φαβρίκιος in B. Gr. IX. p. 52, 62, 80, 95, 116, 147, 148.

(3) Ἐκλεκτοὶ στίχοι ἐξεδόθησαν cura Mathæi Basti Etonensis, Etonæ, 1604.

(4) Ἐν τῷ Μην. Ἰανουαρ. λ΄. Δύο κανόνες αὐτοῦ εἰς τοὺς τρεῖς Ἱεράρχας ἐξεδόθ. in Act. SS. præfat. prolin. ad II tom. Junii. p. 50, 59, 69.

(5) Ἐν τῇ Ἀκολουθ. τοῦ Σαββάτου τῆς Α. ἑβδομάδος τῆς Μ. Τεσσαρακοστῆς, ὁ κανὼν εἰς τὸν Ἄγγελον ἐν τῷ Ὡρολογ. 1784, ἐν τῷ χειρογρ. τῆς βιεν. Βιβλ. cod. 292. ἐν τῷ φλωρεντ. Λαυρεντ. cod. 18. n. 3. Ἐν τῷ τελευταίῳ ὑπάρχει τοῦ αὐτοῦ Εὐχὴ εἰς τὸν Ἄγγελον ἐν 454 ἰαμβ. στίχοις, Bandini Catal. Laurent. T. I. p. 40.

ἐν αἷς ἐπ' ἴσης ὑπάρχουσι: α] ἐκ τοῦ ἀριθμοῦ τῶν 27 κανόνων αὐτοῦ εἰς τὸν Σωτῆρα εἷς κανὼν εἰς τὸν γλυκύτατον Ἰησοῦν· β] ἐκ τοῦ ἀριθμοῦ τῶν 67 κανόνων εἰς τὴν Θεοτόκον—ἕξ· γ] ἐκ τοῦ ἀριθμοῦ τῶν 11 καν. εἰς τὸν Πρόδρομον—δύο. Κατ' ἐξοχὴν δὲ πολλοῦ ἄξιος ὁ κανὼν αὐτοῦ εἰς τὸν Ἄγγελον Φύλακα· οὐ λέγομεν περὶ τοῦ γνωστοῦ κανόνος εἰς τὸν γλυκύτατον Ἰησοῦν.—

§. 307. Ὁ ὅσιος Νέστωρ.

Νέστωρ ὁ χρονογράφος, μοναχὸς τῆς ἐν Κιέβῳ Πεκιέρας ἦν τὸ γένος οὐχὶ Ἕλλην, διότι λέγει ἐν τῷ χρονικῷ αὐτοῦ: «εἰσὶ γὰρ οἱ Ἕλληνες κόλακες καὶ μέχρι τῆς σήμερον»· πάνυ δὲ πιθανόν, ὅτι ἐγεννήθη ἐν Κιέβῳ. Ἑπτακαίδεκα ἔτη γεγονώς, εἰσῆλθεν εἰς τὴν μονὴν τῆς Πεκιέρας, ὅτε ὁ ἅγιος Θεοδόσιος ἑώρταζε τὸ τεσσαρακοστὸν ἔτος τῆς ἐν αὐτῇ διατριβῆς αὐτοῦ. Ἐντεῦθεν δ' ἐγένετο τῷ 1073 δεκτὸς ἐν αὐτῇ. Οὐ παριππευσάντων τριῶν ἐτῶν ἀπὸ τῆς εἰς αὐτὴν εἰσόδου αὐτοῦ, ἐχειροτονήθη διάκονος, ἅτε δὴ τὰ ἱερὰ γράμματα πάνυ καλῶς εἰδώς. Νυκτὸς καὶ ἡμέρας ἠσχολεῖτο περὶ τὴν ἀνάγνωσιν τῆς ἁγίας Γραφῆς καὶ τῶν συγγραμμάτων τῶν θείων Πατέρων. Περὶ τῆς ἐξ αὐτῶν γιγνομένης ὠφελείας λέγει τάδε: «Ὑπ' αὐτῶν διδασκόμεθα καὶ παιδευόμεθα τὰς ὁδοὺς τῆς μετανοίας, καὶ δι' αὐτῶν κτώμεθα σοφίαν καὶ σωφροσύνην. Εἰσὶ γὰρ ποταμοὶ ἀρδεύοντες τὴν οἰκουμένην, πηγὴ ἐλέους. Ἐν αὐτοῖς ὑπάρχει ἀκένωτον βάθος. Δι' αὐτῶν παρηγορούμεθα ἐν ταῖς θλίψεσιν· χαλινοῦσι τὰς ἐπιθυμίας...» Ἐκ τῶν συγγραμμάτων αὐτοῦ καθίσταται δῆλον, ὅτι ἐγίνωσκε τὴν ἑλληνικὴν γλῶσσαν, καὶ ὅτι ἀνέγνω οὐκ ὀλίγα ἑλληνικὰ συγγράμματα. Τὴν γλῶσσαν δὲ ταύτην ἠδύνατο διδαχθῆναι ὑπὸ τῶν ἐν Κιέβῳ τότε διατριβόντων οὐκ ὀλίγων Ἑλλήνων κληρικῶν, τεκτόνων, εἰκονογράφων καὶ ἐμπόρων. Μέχρις ἡμῶν διεσώθη ἐν μνημείοις ἓν δοκίμιον τῆς ἐν τῷ πνευματικῷ βίῳ ὑψηλῆς προκοπῆς τοῦ ὁσίου Νέστορος: «Νίκων ὁ ἡγούμενος καὶ Νέστωρ, ὃς ἔγραψε τὰ χρονικά, ἀφίκοντο πρὸς τὸν πεπλανημένον Νικήταν (κατόπιν ἱεράρχην Νοβογοροδίας), ἐποιήσαντο

ἐγκάρδιον προσευχήν, καὶ ἐκεῖνος, ὃς ἦν τέως λάτρις μόνον τῆς παλαιᾶς Διαθήκης . . . ἀπηλλάγη τῆς πνευματικῆς τυφλώσεως (¹). Τῷ 1091 ἀπεκάλυψεν ὁ θεῖος ἀνήρ, κατὰ διαταγὴν τοῦ ἡγουμένου Ἰωάννου, τὰ λείψανα τοῦ ὁσίου Θεοδοσίου, ὃς ἐγένετο πρῶτος αὐτοῦ διδάσκαλος (²), τῷ δὲ 1114 ἀνεπαύσατο καὶ αὐτὸς ἐν Κυρίῳ. Τὰ λείψανα αὐτοῦ σώζονται ἄχρι τοῦ νῦν ἐν Κιέβῳ.

» Ὁ Νέστωρ ἔγραψε χρονικά,— ὁ μακάριος Νέστωρ ἔγραψεν ἐν τοῖς χρονικοῖς περὶ τῶν μακαρίων Πατέρων ». Οὕτως ἔγραψεν ὁ μοναχὸς τῆς Πεκιέρας Πολύκαρπος ἐν τῇ ἀρχῇ τοῦ ιγ΄ αἰῶνος. Καὶ ἡ παράδοσις ἐγίνωσκεν ἀείποτε Νέστορα χρονογράφον, διακρίνουσα τὰ λείψανα Νέστορος τοῦ ἀγραμμάτου τῶν τοῦ Νέστορος τοῦ χρονογράφου.

Τὰ χρονικὰ τοῦ Νέστορος ἀναγράφουσι τὰ ἀπὸ τῆς εἰς τὸν Δούναβιν ἀφίξεως τῶν Οὔννο-Βλάχων μέχρις αὐτοῦ γενόμενα, ἤτοι ἀπὸ τοῦ 852—1113. Ἐχρήσατο δὲ βοηθήμασι πρὸς σύνταξιν αὐτῶν: α] τοῖς ἑλληνικοῖς χρονικοῖς· β] ταῖς ἀφηγήσεσι τῶν μοναχῶν τῆς Πεκιέρας, ὧν ἔνιοι ἐμέμνηντο τῆς βαπτίσεως τοῦ Βλαδιμήρου· γ] ταῖς συλλογαῖς τῶν ἐπισκόπων τοῦ Κιέβου· δ] τῇ ἀφηγήσει τῶν ἡγεμόνων καὶ μεγιστάνων· ε] τοῖς γράμμασι καὶ ταῖς συνθήκαις τῶν ἡγεμόνων καὶ βραχείαις σημειώσεσι περὶ τῶν ἐν Ρωσσίᾳ γενομένων· ς) ἰδίαις αὐτοῦ μαρτυρίαις.

Ἅπασι τούτοις τοῖς βοηθήμασι ἐχρήσατο ὁ Νέστωρ ὡς πρέπει προσεκτικῷ ἱστορικῷ. Ἀφηγούμενος τὰ κατὰ τοὺς ἀρχαίους χρόνους, ἐκγράφεται ἐκ τῶν ἑλληνικῶν βιβλίων ἔσθ' ὅτε αὐτολεξεὶ ὅ,τι εὕρισκεν ἀναφερόμενον εἰς τὴν Ρωσσίαν καὶ τὰς σχέσεις αὐτῆς πρὸς τοὺς Βουλγάρους καὶ τοὺς Οὔγγρους, προσετίθει δὲ τούτοις οὐ πολλὰ ἐκ τῶν οἰκείων πηγῶν, οἷον γράμματα, συνθήκας, καὶ ἐξ ἁπάντων τούτων συνέταξε βραχεῖαν μέν, ἀλλὰ πάνυ ἀξιόπιστον ἱστορίαν.

(¹) Πατερικ. κατὰ τὰ ἀπόγραφα τοῦ Ρουμιάντζεφ καὶ Τολστόη.

(²) Ἡ διήγησις τοῦ Νέστορος περὶ τῆς ἀποκαλύψεως τῶν λειψάνων τοῦ ὁσίου Θεοδοσίου εὕρηται ἐν τοῖς χρονικοῖς αὐτοῦ.

Ὁ Νέστωρ πραγματεύεται ἐν τοῖς χρονικοῖς αὐτοῦ οὐ μόνον περὶ τῶν πολιτικῶν, ἀλλὰ καὶ περὶ τῶν ἐκκλησιαστικῶν γεγονότων. Ὀλίγα ἐγινώσκομεν ἂν ἄνευ αὐτοῦ περὶ τῆς ἐν Ρωσσίᾳ ἀρχῆς τοῦ χριστιανισμοῦ καὶ τοῦ πολιτικοῦ αὐτῆς βίου.

Τὸ πνεῦμα τῆς διηγήσεως ἐν τοῖς χρονικοῖς τοῦ Νέστορός ἐστι παραπλήσιον ταῖς τῆς ἁγίας Γραφῆς ἀφηγήσεσιν. Ὁ Νέστωρ ἐστὶν εὐσεβὴς παρατηρητὴς τῆς ἀοράτου τοῦ Θεοῦ προνοίας. Ἐκ τῆς διηγήσεως μεταβαίνει εἰς ἠθικὰς μελέτας· οὐ παραλείπει τὰς διδασκαλίας τοῦ λόγου τοῦ Θεοῦ· αὐτὰ τὰ ἐνεργοῦντα πρόσωπα ὁμιλοῦσι παρ' αὐτῷ· οἱ χαρακτῆρες τῶν προσώπων διαγράφονται οὐχὶ ἄνευ τῆς προσηκούσης προσοχῆς.

Ὁ Σλόσσερος εἶπεν ὀρθῶς περὶ τοῦ Νέστορος: « ὁ Ρῶσσος οὗτος, παραβαλλόμενος πρὸς τοὺς μεταγενεστέρους Σκώτους καὶ Πολωνοὺς τοσοῦτον ἐξέχει, ὅσον ἡ ἐσθ' ὅτε ἀμαυρουμένη κρίσις παραβαλλομένη πρὸς τὴν ἀδιάλειπτον μωρίαν ». Αἱ σκοτειναὶ κηλῖδες, αἱ ἐν τοῖς τοῦ Νέστορος χρονικοῖς ἀπαντῶσαι, εἰσέφρησαν εἰς αὐτὰ ἐκ τῆς συγχρόνου τάσεως τῆς ἱστορίας, ὡς π. χ. ἡ ἔλλειψις πολιτικῶν διασκέψεων.

Πλὴν τῶν χρονικῶν ὁ ὅσιος Νέστωρ ἔγραψε: α] ἀφήγησιν περὶ τοῦ μαρτυρικοῦ θανάτου τῶν ἡγεμόνων Βορίσου καὶ Γλέβου· β] βιογραφίαν τοῦ ὁσίου Θεοδοσίου. Ἐν αὐτῇ πραγματεύεται ἐν ἐκτάσει περὶ τοῦ βίου καὶ τῶν ἄθλων αὐτοῦ καὶ διὰ βραχέων περὶ τῶν συγχρόνων αὐτῷ ἐννέα ἀσκητῶν τῆς Πεκιέρας. Τὸ πόνημα τοῦτό ἐστιν οὕτω σαφὲς καὶ ἀκριβές, οὕτω ζωηρὸν καὶ ἐπαγωγόν, καὶ οὕτω πιστῶς διαγράφονται ἐν αὐτῷ οἱ χαρακτῆρες τῶν προσώπων, ὥστε δικαίως δύναται κληθῆναι πρότυπος βιογραφία.

§. 308. Νικόλαος ὁ Μεθώνης.

Νικόλαος, ἐπίσκοπος τῆς ἐν Πελοποννήσῳ Μεθώνης ἦν εἷς τῶν σοφοτάτων διδασκάλων τοῦ χρόνου αὐτοῦ καὶ γνωστὸς μᾶλλον ἐκ τῶν πονημάτων αὐτοῦ, ἢ ἐκ τῶν περιστατικῶν τοῦ βίου. Πιθανόν, ὅτι ἐγένετο ἀκουστὴς Νικήτου τοῦ σοφοῦ Μητροπολίτου Ἡρα-

κλείας ([1]). Ἀναμφιβόλως γνωστόν, ὅτι μετέσχε τῶν ἀποφάσεων τῆς κατὰ τὸ 1156 κατὰ Σωτηρίχου καὶ Παντευγένου συγκροτηθείσης Συνόδου ([2]), καὶ ὑπέγραψε τοῖς πρακτικοῖς τῆς τῷ 1166 συστάσης Συνόδου, ὅτε ἡρμηνεύθησαν οἱ λόγοι τοῦ Σωτῆρος: ὁ Πατήρ μου μείζων μου ἐστί ([3]).

Νικηφόρος ὁ Βλεμμίδης λέγει περὶ τοῦ ποιμένος τῆς Μεθώνης:

» Ὅσοι γὰρ θεσμοὺς Πατέρων χριστοφόρων,
» Ἀποστολικὰς παραδόσεις ἐνθέους,
» Πίστεως ἁπλῶς ἀληθεστάτους ὅρους
» Θέλετε ἰδεῖν ἀμέμπτους ὀρθοδόξους,
» Δεῦτε προσῆτε τῷ σοφῷ διδασκάλῳ
» Νικολάῳ λάμψαντι νέῳ Μεθώνης·
» Ἔνθους ἀρετῆς, σώφρονας συνουσίας,
» Ἣν ἔννομοι κυροῦσι τῆς Γραφῆς τύποι ([4]).

Πλὴν ὀλίγων ἠθικῶν συγγραμμάτων ([*]) ὁ ποιμὴν τῆς Μεθώνης

([1]) Ὁ Ἡρακλείας Μητροπολίτης ἔγραψεν ἀποκρίσεις εἰς ἐρωτήσεις Νικολάου τοῦ Μεθώνης. Πρὸς αὐτὸν δὲ τὸν Νικήταν ἔγραψεν ἐπιστολὰς ὁ Βουλγαρίας μακάριος Θεοφύλακτος inter Cod. Oxon. Bodl. Bibl. cod. 125. Περὶ τῆς ἐπαρχίας Μεθώνης βλ. Lequien. or. Christ. II. p. 179—228.

([2]) Περὶ ταύτης τῆς Συν. ὁμιλεῖ ἐν τῷ ἑαυτοῦ συγγράμματι, βλ. σημ. 7. Τὰ πρακτ. αὐτῆς ἐξέδωκεν ὁ Μάϊος in Spicil. Romano, T. X.

([3]) Ἐν τοῖς πρακτ. ταύτης τῆς Συν. ὑπάρχει ἡ ὑπογραφὴ Νικολάου τοῦ Μεθώνης παρ' Ἀλλατίῳ de eccles. Occid. et Orient. perp. Consens. p. 690. Ἡ συνοδ. ἀπόφανσις περὶ τῶν λόγων τοῦ Σωτῆρος ἐξεδόθη ὑπὸ Μαΐου in Collect. Vet. Auct. T. IV.

([4]) Νικηφ. ὁ φιλόσοφ. παρ' Ἀλλατίῳ de eccles. occid. et orient. perp. concens. p. 682. Ἐν χειρογρ. τῆς κοϊσλιν. Βιβλιοθ. cod. 378 ὑπάρχει σύγγραμμα Νικολάου τοῦ Μεθώνης τοῦ ἁγιωτάτου ἐπισκόπου ἐκ τ. περὶ ἀζύμ. Bibl. Coislin. p. 585.

([*]) Ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας ὑπάρχει χειρόγρ. τοῦ ιδ' αἰῶνος Νο 159, φέρον τὴν ἐπιγραφήν: «Νικολάου τοῦ Μεθώνης βίος τοῦ ὁσίου Μελετίου τοῦ ἐν τῷ ὄρει τῆς Μυουπόλεως ἐν Ἰωνίᾳ ἀσκήσαντος. Νικολάῳ τῷ Κομνηνῷ ἦν

ἔγραψε: 1] κατὰ Λατίνων, οὓς κατεπολέμει πολλαχῶς τὸ μὲν συντάττων ἐγχειρίδια πρὸς κοινὴν χρῆσιν κατὰ τὰς πρὸς αὐτοὺς προσομιλίας (1), τὸ δὲ γράφων εὐσεβεῖς καὶ ἐμβριθεῖς μελέτας (2). «Ὁ τῶν δε πατήρ (Νικόλαος), λέγει ὁ Νικηφόρος, γνησίων νοημάτων,—δι' ὧν νόθον κύλικα πορνικοῦ σπόρου—ἔξωθεν ἕλκων, ἀλ-

γνωστὸς ὁ λόγος αὐτοῦ κατὰ τῶν παραβατῶν τοῦ νόμου. Μυσταγωγ. σελ. 166.

(1) Ἐκ τῶν χειρογρ. γνωστά: α] Σύνταγμα περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, οὗ ἡ ἀρχή: «Ἐπειδὴ περὶ τοῦ Ἁγίου Πνεύματος νῦν ἡμῖν λόγος...» Μετὰ τὸ προοίμιον ἐξελέγχει διὰ βραχέων τὴν διδασκαλίαν τῶν Λατίνων, ὅτι τὸ Ἅγιον Πνεῦμα ἐκπορεύεται καὶ ἐκ τοῦ Υἱοῦ· β] Σύνταγμα περὶ τῆς θείας κοινωνίας, οὗ ἡ ἀρχή: «Κοινωνικὸν μὲν ζῶον ὁ ἄνθρωπος...» γ] Σύνταγμα περὶ τῆς τῶν Λατίνων ἐν Σαββάτῳ νηστείας καὶ περὶ τοῦ ὅτι οὐ δεῖ ἐν Τεσσαρακοστῇ τελείαν γενέσθαι μυσταγωγίαν, ὡς ἐκ τῶν θείων κανόνων ἐστὶν ἀπόδειξις. Τὸ σύγγραμμα τοῦτο ἄρχεται ὧδε: «Ἡ πρὸς τὸν πλησίον ἀγάπη, καθάπερ φησὶν ὁ Ἀπόστολος...» Τὰ τρία ταῦτα συγγράμματα ὑπάρχουσιν ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας cod. 260, καὶ ἐν τῇ τοῦ Μονάχου Βανατ. in cod. 65.

(2) Ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας cod. 353. 355. 13. α] Νικολάου ἐπισκ. Μεθώνης πρὸς Λατίνους περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, ὅτι ἐκ τοῦ Πατρός, οὐ μὴν καὶ ἐκ τοῦ Υἱοῦ ἐκπορεύεται· β] πρὸς Λατίνους περὶ ἀζύμων λόγοι δύο in Bibl. S. Marci cod. 375. Ἔτι δύο συγγράμματα αὐτοῦ περὶ τοῦ Ἁγίου Πνεύματος ἐν τῇ Βιβλ. τοῦ Μονάχου: α] Cod. 65 περὶ τῆς ἐκπορεύσεως τοῦ Ἁγίου Πνεύματος, οὗ ἡ ἀρχή: «Ἐπειδὴ νῦν περὶ τοῦ Ἁγίου Πνεύματός ἐστιν ἡμῖν ὁ λόγος...» β] Cod. 66 ἔλεγχοι κεφαλαιώδεις τοῦ παρὰ Λατίνοις καινοφανοῦς δόγματος, τοῦ ὅτι τὸ Πνεῦμα τὸ Ἅγιον ἐκ τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ προέρχεται, συνοψισθέντος ἐκ τῶν πλάτους τῷ ἁγιωτάτῳ Φωτίῳ ἐν διαφόροις λόγοις αὐτοῦ γεγραμμένων. Τὸ τελευταῖον ὑπάρχει καὶ ἐν τῇ συνοδ. Βιβλ τῆς Μόσχας cod. 394. Τὸ σύγγραμα τοῦτο τοῦ ποιμένος τῆς Μεθώνης ἦν γνωστὸν Νικολάῳ τῷ Κομνηνῷ. Μυσταγ. σελ. 366.

λόφυλον ὡς γένος — πρὸς ἐξαπάτην τῶν λόγων φιλοσόφους — ἤλεγξε, κατέβαλε, ρίψας εἰς χάος, — καὶ συλλογισμῶν τοὺς ἀσυμπλόκους βρόχους — ἔλυσεν ἄρδην ὡς ἀραχνίους μίτους». Ἡ κατὰ τὸ 1156 συγκροτηθεῖσα Σύνοδος παρέσχεν ἀφορμὴν τῷ ποιμένι τῆς Μεθώνης πρὸς μελέτας περὶ διαφόρων ζητημάτων ἀναφερομένων εἰς τὴν ἱερουργίαν τῆς Εὐχαριστίας (¹), καὶ μεταξὺ τῶν ἄλ-

(¹) Ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μόσχας Cod. 353. α] f. 128. «Νικολάου ἐπισκόπου Μεθώνης πρὸς τὸν μέγιστον βασιλέα, τὸν ἄριστον ἀριστέα, τὸν κράτιστον Αὐτοκράτορα, τὸν Κομνηνὸν Κύριον Μανουὴλ τὸν Πορφυρογέννητον· μετὰ τὴν ἐν Κωνσταντινουπόλει συγκροτηθεῖσαν κελεύσει αὐτοῦ νέαν Σύνοδον κατὰ τῆς ἀρτιφανοῦς αἱρέσεως τῶν λεγόντων τὴν σωτήριον ὑπὲρ ἡμῶν θυσίαν μὴ τῇ τρισυποστάτῳ θεότητι προσαχθῆναι, ἀλλὰ τῷ Πατρὶ μόνῳ· καὶ διαιρούντων μὲν οὕτω τὴν μίαν θεότητα, μεμφομένων δὲ ὡς αἱρετικοὺς Νεστοριανοὺς ἀποκαλούντων τοὺς λέγοντας τὸν Χριστὸν καὶ Ἑαυτῷ ταύτην τὴν θυσίαν προσενεγκεῖν, καὶ μετὰ τὰ ἐπὶ ταύτῃ τῇ Συνόδῳ βασιλικὰ κατὰ τὴν Ἀνατολὴν τρόπαια ἐπινίκιος· ἐν ᾧ καὶ ἀντίρρησις συνοπτικωτέρα πρὸς τὰ γραφέντα τῷ τῆς αἱρέσεως ἐξάρχῳ». Ἡ ἀρχὴ τοῦ λόγου τούτου ἔχει ὧδε: «Μεθώνη πόλις (ἀλλ' ἀποκόπτει μοι τὸ συμπλήρωμα τῆς προτάσεως ἡ παντελὴς τοῦ ψεύδους παραίτησις)..» [Τὸν λόγον τοῦτον, ὡς καὶ τοῦ αὐτοῦ Νικολάου τὰ λείποντα περὶ τῆς θείας ἱερουργίας καὶ τοῦ πῶς ὁ Χριστὸς λέγεται προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος καὶ διαδιδόμενος ἐξέδωκε τὸ πρῶτον ἐν Λειψίᾳ ὁ ἀείμνηστος Ἀρχιμανδρίτης Ἀνδρόνικος Δημητρακόπουλος προτάξας ἀξιόλογον πρόλογον, ἐν ᾧ βραχέως μέν, ἀλλὰ πάνυ ἀκριβῶς ἐξέθηκε τὸν βίον τοῦ μακαρίου συγγραφέως, καὶ κατέλεξε τὰ σωζόμενα αὐτοῦ συγγράμματα. Ὁ αὐτὸς ἐξέδωκεν ἐπ' ἴσης ἐν Λειψίᾳ τὸ πρῶτον κατὰ τὸ 1866 τὰ ἐν τῇ δε τῇ σημειώσει μνημονευόμενα συγγράμματα τοῦ ἱεροῦ τῆς Μεθώνης Ποιμένος ἐν τῷ Α' τόμῳ τῆς ἑαυτοῦ Ἐκκλησ. Βιβλιοθήκης. Σ. Μ.]. β] f. 137. Τοῦ αὐτοῦ «πρὸς τὸν μέγαν Δομέστικον ἐρωτήσαντα περὶ τοῦ Ἁγίου Πνεύματος, πῶς λέγεται οὐσιωδῶς ἐπιδημῆσαι καὶ ἐνοικῆσαι τοῖς Ἀποστόλοις, καὶ εἰ οὕτως ἦν καὶ ἐν τῷ Χριστῷ, πῶς οὐχὶ καὶ αὐτοὶ Χριστοὶ λέγονται; ἢ εἰμὴ οὕτως, τίς ἡ διαφορά;» γ] f. 142. Τοῦ αὐτοῦ «πρὸς τὸν ἐρωτήσαντα, εἴ ἐστιν ὅρος ζωῆς καὶ θανάτου· καὶ πῶς, τούτου δοθέντος, οὐκ ἂν εἴη κακῶν αἴτιος ὁ Θεός». δ] f. 146. «Δεύ-

λων «πρὸς τοὺς διστάζοντας καὶ λέγοντας, ὅτι ὁ ἱερουργούμενος ἄρτος καὶ οἶνος οὐκ ἔστι σῶμα καὶ αἷμα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ» (1). Ἐνταῦθα ὁ ἱερὸς ἀνὴρ ἀποδείκνυσιν, ὅτι ὁ ἄρτος καὶ ὁ οἶνος μεταβάλλονται εἰς σῶμα καὶ αἷμα Χριστοῦ. 2] Τὸ πλείστου λόγου ἄξιον σύγγραμμα αὐτοῦ ἐστιν ἡ Ἀνάπτυξις τῆς θεολογικῆς στοιχειώσεως Πρόκλου, πλατωνικοῦ φιλοσόφου, πρὸς τὸ μὴ συναρπάζεσθαι τοὺς ἀναγινώσκοντας ὑπὸ τῆς ὑποφαινομένης αὐτῇ πειθανάγκης καὶ σκανδαλίζεσθαι κατὰ τῆς ἀληθοῦς πίστεως (2). Ἐνταῦθα ὁ διδάσκαλος τῆς Μεθώνης, ἐξερχόμενος τοῦ κύκλου τοῦ χρόνου αὐτοῦ, πλησιάζει καὶ προσεγγίζει τὸν ἀναγνώστην τοῖς μεγάλοις αἰῶσι γ' καὶ δ'. Πάνυ λογικῶς ἀνασκευάζει τὴν φιλοσοφίαν τοῦ Πρόκλου καὶ ἀπολογεῖται ὑπὲρ τοῦ χριστιανισμοῦ. Διδασκάλῳ χρῆται ἐν ταῖς φιλοσοφικαῖς αὐτοῦ μελέταις Γρηγορίῳ θεολόγῳ. Ἔνθα ἦν ἀνάγκη ἀντιτιθέναι ταῖς αὐθαιρέτοις δοξασίαις τὴν σταθερὰν καὶ ὑγιᾶ τῆς πίστεως διδασκαλίαν, ἐξάγει αὐτὴν ἐκ τοῦ λόγου τοῦ Θεοῦ. Κύριος αὐτοῦ σκοπὸς ἦν τὸ

τερος λόγος περὶ τοῦ αὐτοῦ, ἐκ τῶν γραφικῶν μαρτυριῶν τὰ αὐτὰ συνάγων καὶ τὸν τῆς ἀοριστίας πρεσβευτὴν ἐλέγχων μὴ καλῶς τινας αὐτῶν ἐκλαμβάνοντα καὶ τὰς ἐντεῦθεν φυομένας ἀπορίας λύων». ε] f. 153. «Περὶ τοῦ αὐτοῦ λόγος τρίτος, τὴν ἀτοπίαν ἐλέγχων τῆς κατὰ τὴν ἀοριστίαν ὑποθέσεως διὰ τῆς εἰς ἀδύνατον ἀπαγωγῆς. ς] f. 153. «Περὶ τῆς ἐπὶ τῇ καταστάσει τοῦ Πατριάρχου ἀντιλογίας· καὶ περὶ ἱεραρχίας» ζ] f. 163. «Πρὸς τοὺς σκανδαλιζομένους ἐπὶ τοῖς ἀποστολικοῖς ῥητοῖς τῷ: Ὅταν δὲ ὑποταγῇ αὐτῷ τὰ πάντα, τότε καὶ αὐτὸς ὁ Υἱὸς ὑποταγήσεται τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, καὶ τῷ: ἵνα ᾖ ὁ Θεὸς τὰ πάντα ἐν πᾶσι. η] f. 171. «Τοῦ αὐτοῦ τὰ λείποντα περὶ τῆς θείας ἱερουργίας καὶ τοῦ πῶς ὁ Χριστὸς λέγεται προσφέρων καὶ προσφερόμενος καὶ προσδεχόμενος διαδιδόμενος».

(1) Ἐξεδόθη ὑπὸ Δουκαίου in Auctor. Patr. T. II. Parisiis, 1624. in Morelliana Bibl. Patr. Paris. 1644, 1654. T. XII. p. 516—520.

(2) Ἐξεδόθη ὑπὸ Vœmel, Francofurti, 1825. Nicol. Methon. Anecdota I. et II. 1825, 1826.

ἀποτρέψαι τοὺς συγχρόνους αὐτῷ τῆς ἐθνικῆς φιλοσοφίας, ὑφ' ἧς παρεσύροντο, ἀγνοοῦντες καὶ αὐτοὶ τὴν τούτου αἰτίαν. Οὕτω γράφει ἐν τῇ ἀρχῇ τοῦ βιβλίου αὐτοῦ: «Θαυμαστὸν οὐδέν, ἐὰν Ἕλληνες, οἱ τὴν ἀνθρωπίνην καὶ καταργουμένην ἐν Χριστῷ σοφίαν ζητοῦντες, ᾗ φησὶ Παῦλος ὁ θεῖος Ἀπόστολος, μωρίαν ἡγῶνται τὴν ἀληθινὴν καὶ ἡμετέραν σοφίαν, καὶ πλατὺν ἡμῶν καταχέωσι γέλωτα, τὴν εἰς τὸν Ἐσταυρομένον πίστιν προβαλλομένων καὶ διδασκάλους ἀγραμμάτους καὶ ἁλιεῖς ἐπιγραφομένων. Ψυχικοὶ γὰρ ὄντες ἄνθρωποι, κατὰ τὸν Ἀπόστολον, οὐ δέχονται τὰ τοῦ Πνεύματος, καὶ τὸν νοῦν ταῖς ψευδοδοξίαις ἐσκοτισμένοι, τῷ λαμπρῷ φωτὶ τῆς ἀληθείας προβλέψαι οὐ δύνανται. Ἀλλὰ θαυμάσειεν ἄν τις μᾶλλον εἰκότως, ὅπως καί τινες τῆς ἔνδον ταύτης καὶ ἡμετέρας γεγονότες αὐλῆς καὶ τὴν χριστώνυμον κλῆσιν πλουτήσαντες καὶ τῆς χάριτος ἀπολαύσαντες καὶ μυστηρίων θείων γευσάμενοι, ἐπειδὴ καὶ τῆς ἔξω μετέσχον, εἴ που καὶ ἀκροθιγῶς ἥψαντο, ἐπίπροσθεν τῶν οἰκείων τίθενται τὰ ἀλλότρια, τούτων μὲν τὸ σαφὲς καὶ ἁπλοῦν καὶ ἀκατάσκευον, ὡς εὐτελές, διαπτύοντες, ἐκείνων δὲ τὸ ποικίλον καὶ γρῖφον καὶ κομψόν, ὡς ὄντως σεμνόν τε καὶ σοφὸν ἐκθειάζοντες, οὐδὲ τοῦ καλῶς εἰρηκότος ἀκούειν ἐθέλοντες, σοφὸν τὸ σαφές, οὐ τὸ μὴ σαφές. Ὅθεν αὐτοῖς καὶ τὰ πολλὰ προσκόπτειν συμβαίνει καὶ τῆς ὀρθῆς ἐκτρέπεσθαι πίστεως καὶ ταῖς σεσοφιμέναις πειθανάγκαις ὑπαγομένοις, εἰς βλασφημιῶν αἱρέσεις ὑπολισθαίνειν. Ὅπερ, ἵνα μὴ πάθωσι καὶ τῶν νῦν πολλοί, προνοούμενος, ὅσοι τὰ Πρόκλου τοῦ Λυκίου κεφάλαια σπουδῆς ἄξια κρίνουσιν, ἅπερ αὐτῷ θεολογικὴ στοιχείωσις ἐπιγράφεται, δεῖν ἔγνων ἐπιμελῶς αὐτοῖς τὸν νοῦν ἐπιστήσας, τὸ καθ' ἕκαστον αὐτῶν πρὸς τὴν θείαν πίστιν ἀντίδοξον ἐπισημήνασθαι μετὰ καί τινος ἐλέγχου, τὸ μεμηχανημένον καὶ τῇ κομψείᾳ ὑποκρυπτόμενον καὶ τοὺς πολλοὺς οὕτω διαφεῦγον ψεῦδος ἀνακαλύπτοντος».

Πάνυ ἐξαίρετος ἡ μελέτη αὐτοῦ περὶ τῆς ἀνάγκης τοῦ γενέσθαι λυτρωτὴν τὸν Υἱὸν τοῦ Θεοῦ. Αἱ κύριαι αὐτῆς ἔννοιαί εἰσιν αἱ ἑξῆς: Ἅπαντές ἐσμεν ἁμαρτωλοί, καὶ ἐντεῦθεν ὑποκείμεθα τῷ θανάτῳ καὶ τῇ ἐξουσίᾳ τοῦ διὰ τοῦ θα-

νάτου ἄρχοντος τῶν ἀνθρώπων. Οὐδεὶς ἡμῶν οὐ μόνον τοὺς ἄλλους οὐ δύναται ἀπαλλάξαι, ἀλλ' οὐδ' ἑαυτὸν τῆς δουλείας, τῆς ἕνεκα τῆς ἁμαρτίας καταβαρυνούσης ἡμᾶς, διότι ἕκαστος, ἀποθνήσκων, ἀποτίει τὸν φόρον μόνον δι' ἑαυτὸν κατὰ τὴν δύναμιν τῆς ζώσης ἁμαρτίας. Εἰ οὖν τις ἠδύνατο ἀπαλλάξαι ἡμᾶς, ἀνάγκη καὶ θάνατον αὐτὸν ὑποστῆναι, ἵνα ἐνεργήσῃ κατὰ τῆς ἐξουσίας τοῦ ἄρχοντος τοῦ θανάτου, καὶ ἀνάγκη εἶναι ἀναμάρτητον, ἵνα ἀποτίσῃ τὸν φόρον τῷ ἄρχοντι τούτῳ οὐ δι' ἑαυτὸν μόνον, ἀλλὰ καὶ διὰ τοὺς ἄλλους. Ἐντεῦθεν ἔδει τὸν Λυτρωτὴν εἶναι Θεάνθρωπον (1).

Δεικνὺς τὴν ἀληθῆ σημασίαν τῆς περὶ τῆς Ἁγίας Τριάδος ἀποκεκαλυμμένης διδασκαλίας, πρὸς προφύλαξιν ἀπὸ τῶν σοφισμάτων τῶν ἐθνικῶν, λέγει τάδε: « οὐ τρεῖς θεοὺς λέγομεν, οὐδὲ τρία ἁπλῶς τὰ πρώτως ὄντα ἢ ὄντα· ὅτι μηδὲ τῷ εἶναι διαφέρουσι Πατὴρ καὶ Υἱὸς καὶ Πνεῦμα, ἀλλὰ τὸ πῶς εἶναι, ἢ ὁ μὲν ἀγεννήτως, ὁ δὲ γεννητῶς, τὸ δὲ ἐκπορευτῶς· εἷς δὲ τὰ τρία Θεός» (2). «Ἡμεῖς δὲ πάντων μὲν πρακτικὴν τῶν ὄντων αἰτίαν φαμὲν τὸν ἕνα κατὰ τὴν ὑπερούσιον οὐσίαν Θεόν, τρία δὲ ὄντα ταῖς ὑποστάσεσι, Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα. Τούτων δὲ τῶν τριῶν τὸν Πατέρα μὲν ὑμνοῦμεν ὡς αἴτιον, τὸν Υἱὸν δὲ καὶ τὸ Πνεῦμα ἐκ τοῦ Πατρός, ὡς αἰτίας, προῆχθαι, ὁμολογοῦμεν, οὐ δημιουργικῶς, οὐ πρακτικῶς, ἀλλ' ὑπερφυῶς καὶ ὑπερουσίως, ὡς ὁμοούσια, τὸν μὲν γεννητῶς, τὸ δὲ ἐκπορευτῶς, ἡνωμένα τῷ Πατρὶ καὶ ἀλλήλοις ἀσυγχύτως, καὶ διακεκριμμένα ἀδιαιρέτως· τὸ μὲν κατὰ τὴν μίαν οὐσίαν, τὸ δὲ κατὰ τὰς τρεῖς ὑποστάσεις, εἴτουν τὰ πρόσωπα. Οὕτω καὶ τὸ ἓν ἀσφαλῶς καὶ τὰ τρία σέβομεν, καὶ τὴν πολυθεΐαν ἀποτρεπόμεθα» (3).

(1) Ἀνάπτ. τῆς θεολογ. στοιχ. Πρόκλου, σελ. 155. Ἀνέκδ. μέρ. Α. σελ. 20, 21, 25.

(2) Ἀνάπτυξ. σελ. 42.

(3) Αὐτόθ. σελ. 167. Καὶ ἐν τῇ 128ῃ λέγει: « Ἐν μὲν τῷ Θεῷ τὰ πάντα κατ' αἰτίαν, ἐν τοῖς πᾶσι δὲ ὁ Θεὸς κατὰ μέθεξιν, ἕκαστον δὲ τῶν πάντων ἐστὶν αὐτό, ὅπερ ἐστὶ καθ' ὕπαρξιν, Πατὴρ δὲ καὶ Υἱὸς καὶ Πνεῦμα Ἅγιον ὁ Θεός. Ἐν Τριάδι οὖν τὰ πάντα καὶ ἡ Τριὰς τὰ πάντα κατ' αἰτίαν καὶ ὑπεροχικῶς, ἐν πᾶσι δὲ ἡ Τριὰς κατὰ μέθεξιν, πρὸς ἀλ-

§. 309. Πέτρος ὁ Δαμασκηνός.

Πέτρος ὁ Δαμασκηνός, μοναχὸς τοῦ ιβ' αἰῶνος, γνωστὸς ἐκ τῶν ἀσκητικῶν αὐτοῦ συγγραμμάτων. Περὶ τοῦ βίου αὐτοῦ γνωστὸν μόνον, ὅ,τι αὐτὸς γράφει ἐν τῇ ἀρχῇ τοῦ βιβλίου αὐτοῦ: «Ἐπειδὴ οὐδόλως βίβλον ἰδίαν κέκτημαι, ἢ ἐκτησάμην ποτέ, ἀλλ' ἐκ τῶν φιλοχρίστων ἐλάμβανον, ὥσπερ καὶ τὰς σωματικὰς χρείας ἁπάσας διὰ τὴν ἀγάπην τοῦ Θεοῦ. Καὶ ταύτας διερχόμενος μετὰ σχολῆς ἁπάσης, ἀπεδίδουν πάλιν τοῖς ἰδίοις». Οἱ λόγοι οὗτοι δεικνῦσιν, ὅτι ὁ μακάριος Πέτρος ἔζη ἐν τελείᾳ ἀκτημοσύνῃ. Ἐν τῷ τέλει τοῦ τρίτου αὐτοῦ βιβλίου λέγει: «Ὁ γὰρ νικήσας τῇ χάριτι Χριστοῦ τὰ ὀκτὼ πάθη ταῦτα, φησίν, ἐνίκησε καὶ τὰ λοιπὰ πάντα, ἅτινα προεγράφησαν ἐν τῷ πρώτῳ βιβλίῳ ὑπὸ τοῦ συγγράψαντος αὐτὸ Πέτρου ταπεινοῦ μοναχοῦ τοῦ Δαμασκηνοῦ κατὰ τὸ 6696 (1157) ἔτει ἰνδικτ. ιέ».

Ὁ ὅσ. Ἰωσὴφ ὁ Βολοκολάμσκιος κατεχώρισεν ἐν τῇ ὑπ' αὐτοῦ γενομένῃ συλλογῇ τῶν ψυχωφελῶν διδασκαλιῶν τῶν Πατέρων ἐκλογὰς ἐκ τῆς ὑπομνήσεως πρὸς τὴν ἑαυτοῦ ψυχὴν Πέτρου τοῦ Δαμασκηνοῦ καὶ Προφήτου. Αὕτη περιλαμβάνει τὰ πρῶτα ἄρθρα τοῦ πρώτου τῶν δύο ἐκείνων βιβλίων, ἅτινα ἐξεδόθησαν ἐν τῇ σλαβικῇ Φιλοκαλίᾳ (¹).

ληλα δὲ ταῦτα τὰ τρία, ὁ μὲν Πατὴρ αἴτιος τοῖν δυοῖν, τὰ δὲ ἄμφω ἀπὸ τοῦ Πατρὸς μοναδικῶς καὶ ἰδίως ἑκάτερον, ἵνα καὶ ἓν ἕκαστον φυλαχθῇ καὶ διακρίνηται τῶν λοιπῶν, τῆς οὐσίας μὴ χωριζόμενον, ἓν τὸ αἴτιον ὁ Πατήρ, ἓν τὸ ἀπὸ τοῦ Πατρὸς ἐκπορευτῶς, τὸ Πνεῦμα τὸ Ἅγιον, ἄλλο μὲν ἕκαστον παρὰ τὰ λοιπὰ κατὰ τὴν ὑποστατικὴν ὕπαρξιν, ἓν δὲ τὰ τρία κατὰ τὴν φυσικήν, ἐν ἀλλήλοις δὲ ὡς ἀχώριστα...»

(¹) Τὸ πρωτότυπον κείμενον τῶν συγγραμμάτων τοῦ Πέτρου οὐκ ἐξεδόθη. Ἐν τῇ συνοδ. Βιβλ. τῆς Μόσχας cod. 384 καὶ ἐν τῇ βασιλ. τῶν Παρισ. cod. 1134 ὑπάρχουσι: α] ἡ ὑπόμνησις πρὸς τὴν ἑαυτοῦ ψυχήν· β] περὶ τῶν θείων ἐντολῶν· γ] ἐξήγησις ἐκ τοῦ Χρυσοστόμου, ἧς ἡ ἀρχή: «Ἀγαπᾶτε τὴν ταπεινοφροσύνην...»· δ] περὶ τῶν τριῶν δυνάμεων τῆς ψυχῆς. Τὰ τέσσαρα ταῦτα πονήματα ὑπάρχουσι

§. 310. Κύριλλος ὁ Τουρόβου.

Κύριλλος, ἐπίσκοπος Τουρόβου, ἐγεννήθη ἐν τῇ πόλει ταύτῃ ἐκ πλουσίων γονέων, διὸ καὶ ἐξεπαιδεύθη πάνυ καλῶς. Ἀποταξάμενος πλουσίᾳ κληρονομίᾳ, ἐδέξατο ἐν Τουρόβῳ τὸ μοναχικὸν ἀξίωμα. Παρακληθεὶς ὑπό τε τοῦ ἡγεμόνος καὶ τῶν πολιτῶν τοῦ Τουρόβου δέξασθαι τὸ ἀρχιερατικὸν ἀξίωμα ἐχειροτονήθη ὑπὸ τοῦ Μητροπολίτου τοῦ Κιέβου ἐπίσκοπος Τουρόβου. Πρώτιστον μέλημα αὐτοῦ, γενομένου ἐπισκόπου, ἦν τὸ διδάσκειν τὸν λαὸν τὰς ἀληθείας τῆς ἁγίας πίστεως καὶ τὴν κατὰ Χριστὸν ἠθικήν. Τῷ 1169 ὁ σοφὸς ποιμὴν «ἤλεγξεν ἐκ τῶν ἁγίων Γραφῶν Θεόδωρον τὸν Ρωστοβίας, ἀτιμάσαντα τὸ ἑαυτοῦ ἀξίωμα αἰσχρῷ τε βίῳ καὶ αἰσχραῖς ἐννοίαις». Ἕνεκα τῶν λαμπρῶν αὐτοῦ ὁμιλιῶν ἐκτήσατο μέγα κλέος. Ταύτας δ' ἐπέστελλε πρὸς τὸν μέγαν ἡγεμόνα Ἀνδρέαν τὸν θεοφιλῆ (1169—1179), ὃς ἦν πάνυ εὐσεβὴς καὶ προσηκόντως ἐτιμᾶτο ὑπὸ τῶν συγχρόνων αὐτῷ ἡγεμόνων τῆς Ρωσσίας. Λίαν δὲ ποθῶν καθιερῶσαι ὅλως ἑαυτὸν τῷ Κυρίῳ, κατέλιπε τῷ 1180 τὸν θρόνον αὐτοῦ· ἀλλ' οὐκ ἐπαύετο ἀγαπᾶν τοὺς ἀδελφοὺς καὶ ἐπιστέλλειν τῷ διαδεξαμένῳ αὐτόν, τῷ ἡγουμένῳ τῆς Πεκιέρας Βασιλείῳ καὶ τοῖς ὑπ' αὐτόν. Ὁ ἅγιος ἀσκητὴς κατέλυσε τὸν βίον οὐ πρὸ τοῦ 1183.

Ἡ ἀρχαία βιογραφία τοῦ ἁγίου Κυρίλλου λέγει περὶ τῶν συγ-

καὶ in Bodl. Bibl. cod. Baroc. cod. 133. Ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μ. cod. 322. περὶ τῶν ἑπτὰ πράξεων. Ἐν τῇ βιεν. Βιβλιοθ. cod. 184. λόγοι ψυχωφελεῖς. Ἐν τῇ παρισ. Βιβλιοθ. α] ἀσκητικαὶ μελέται· β] περὶ τοῦ πνευματικοῦ πολέμου· γ] περὶ τοῦ οὐδένα κίνδυνον δεῖ ἀποφεύγειν ὑπὲρ τῆς ἀληθείας· δ] περὶ ἀποφυγῆς τῆς ἁμαρτίας. Ἐν τῇ βενετ. Βιβλιοθ. cod. Nanian. 229. περὶ ἀρετῶν καὶ κακιῶν. Ἐν τῇ συνοδ. Βιβλιοθ. τῆς Μ. cod. 306. 1. f. 210—238 Ἀλφάβητον, τουτ. ἐν ἀλφαβητ. τάξει διατετεταγμέναι κρίσεις περὶ διαφόρων ὑποθέσεων τῆς χριστιαν. ἠθικῆς. 2. f. 239—314. λόγος πενθικός, οὗ ἡ ἀρχή: «ἐν μιᾷ τῶν ἡμερῶν...». 3. ἐπιστολὴ Νικολάῳ, ἧς ἡ ἀρχή: «Ἐπειδή περ πρώην πολὺς ἧς...».

γραμμάτων αὐτοῦ τάδε: «Ἀνδρέᾳ δὲ τῷ θεοφιλεῖ ἡγεμόνι ἔγραψε πολλὰς ἐπιστολὰς ἐκ τῶν εὐαγγελικῶν καὶ προφητικῶν Γραφῶν, πολλοὺς ψυχωφελεῖς λόγους, εὐχὰς πρὸς τὸν Θεόν, καὶ λόγους εἰς πολλοὺς ἁγίους, συνέταξε περὶ μετανοίας κανόνα εἰς τὸν Κύριον...» Κατὰ τὴν ἀρχαίαν ταύτην μαρτυρίαν: 1] αἱ ἐπιστολαὶ τοῦ ἁγίου Κυρίλλου πρὸς τὸν ἡγεμόνα Ἀνδρέαν οὐδὲν ἄλλο εἰσίν, ἢ οἱ τὸν ἀριθμὸν 10 εἰς τὰς ἑορτὰς λόγοι αὐτοῦ, οἳ καὶ νῦν εἰσι γνωστοί, καὶ οἳ δεικνύουσιν, ὅτι ὁ ἀρχαῖος ἀφηγητὴς ὀρθῶς ἀπεκάλει τὸν συγγραφέα αὐτῶν ρῶσσον Χρυσόστομον. Οἱ λόγοι οὗτοι ἀποπνέουσι τὴν εὐφράδειαν τοῦ Χρυσορρήμονος, καί εἰσιν ἐσφραγισμένοι τῷ πνεύματι τοῦ μεγίστου τῆς Ἐκκλησίας φωστῆρος, τῇ ἀγάπῃ αὐτοῦ πρὸς τὸν λόγον τοῦ Θεοῦ· ἐν τοῖς λόγοις αὐτοῦ ὑπάρχει ἐγκώμιον εἰς τοὺς 318 θεοφόρους Πατέρας τῆς Α΄ οἰκουμενικῆς Συνόδου. Ἄγνωστον, εἰ εἶχεν ὁ ἀρχαῖος ἀφηγητὴς ὑπ᾽ ὄψει ἄλλα τινὰ ἐγκώμια εἰς πολλοὺς ἁγίους. 2] Τὸν περὶ σοφίας λόγον τακτέον ἐν τοῖς ψυχωφελέσι λόγοις, ὧν μνημονεύει ὁ ἀρχαῖος ἀφηγητής. Ὁ λόγος οὗτος περιέχει πολλὰ ἀναφερόμενα εἰς τὴν ψυχικὴν κατάστασιν Θεοδώρου τοῦ Ρωστοβίας, καὶ πάνυ πιθανόν, ὅτι ἐγράφη δι᾽ αὐτόν. Ἐν τοῖς ψυχωφελέσι λόγοις τακτέον ἐπ᾽ ἴσης τὴν διήγησιν περὶ τοῦ κοσμικοῦ ἀνθρώπου διὰ τὸν ἡγούμενον Βασίλειον, καὶ τὴν ἑρμηνείαν τοῦ ἀξιώματος τῶν μοναχῶν. Οὐ πρὸ πολλοῦ ἐξεδόθη ἐν Μόσχᾳ ἐπιστολὴ τοῦ ἁγίου Κυρίλλου πρὸς τὸν ἡγούμενον Βασίλειον, ἐν ᾗ ἐκτίθησι τὰ καθήκοντα τοῦ μοναχοῦ. 3] Αἱ εὐχαὶ πρὸς τὸν Θεὸν εἰσι πάνυ κατανυκτικαί. 4] Ὁ μέγας περὶ μετανοίας κανὼν πρὸς τὸν Κύριόν ἐστι πλείστου ἄξιος.

Ὅσον δ᾽ ἀφορᾷ εἰς τὸν περὶ πειρασμῶν λόγον ῥητέον, ὅτι οὐκ ἔστι πόνημα τοῦ ἱεροῦ ἀνδρός. Ὁ εἰς τὴν Πεντηκοστὴν λόγος ἐγράφη οὐχὶ ὑπ᾽ αὐτοῦ, ἀλλ᾽ ὑπὸ Κλήμεντος τῆς Βουλγαρίας. Ὁ λόγος οὗτος καὶ κατὰ τὴν λέξιν οὐχ ὁμοιάζει τοῖς λόγοις τοῦ εὐφραδοῦς ποιμένος τοῦ Τουρόδου.—

ΤΕΛΟΣ

ΠΙΝΑΞ

Τῶν ἐν τῷ τρίτῳ τόμῳ περιεχομένων.

ΔΕΥΤΕΡΑ ΠΕΡΙΟΔΟΣ

ΤΜΗΜΑ ΔΕΥΤΕΡΟΝ

(ἀπὸ τοῦ 420ου ἔτους μέχρι τοῦ 610ου)


ΠΕΡΙΟΔΟΣ ΤΡΙΤΗ

(ἀπὸ τοῦ 610ου ἔτους μέχρι τοῦ 850ου)

ΠΕΡΙΟΔΟΣ ΤΕΤΑΡΤΗ

ΤΜΗΜΑ ΠΡΩΤΟΝ

(ἀπὸ τοῦ 850ου ἔτους μέχρι τοῦ 1206ου)



ΠΙΝΑΞ

Τῆς πραγματευομένης ὕλης [α].

[α] Ὁ ἀριθμὸς δείκνυσι τὴν §.

ΗΘΙΚΗ ΘΕΟΛΟΓΙΑ.

θ'.

ΑΛΦΑΒΗΤΙΚΟΣ ΠΙΝΑΞ
ΤΩΝ ΠΑΤΕΡΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ.



ΑΛΦΑΒΗΤΙΚΟΣ ΠΙΝΑΞ

ΤΩΝ ΣΥΓΓΡΑΦΕΩΝ ΚΑΙ ΔΙΔΑΣΚΑΛΩΝ ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ.











